http://www.numelyo.bm-lyon.fr

Histoire romaine de Dion Cassius

Auteur :Dion Cassius, 0155?-0235?

Date :1845-1870

Cote : SJ X 229/6 T. 06

Permalien : http://numelyo.bm-lyon.fr/BML:BML_00GOO0100137001100092928

Droit d'utilisation : Domaine public, Licence Ouverte-Open Licence





HISTOIRE ROMAINE

DE

DION CASSIUS,

TRADUITE EN FRANÇAIS,

AVEC DES NOTES CRITIQUES, HISTORIQUES, ETC.

ET LE TEXTE EN REGARD,

collationné

SUR LES MEILLEURES ÉDITIONS ET SUR LES MANUSCRITS DE ROME, FLORENCE, VENISE, TURIN, MUNICH, HEIDELBERG, PARIS, TOURS, BESANÇON.

PAR E. GROS,

INSPECTEUR DE L'ACADÉMIE DE PARIS,

OUVRAGE CONTINUÉ

PAR V. BOISSÉE.

TOME SIXIÉME.

PARIS,

LIBRAIRIE DE FIRMIN DIDOT FRÈRES, FILS ET C^ie^,

IMPRIMEURS DE L'INSTITUT,

RUE JACOB, 56.

1863.

EX LIBRIS DOMUS Bibliotheca SANCTI STANISLAI
- artium -
X
229/6
CHANTILLY

HISTOIRE ROMAINE

DE

DION CASSIUS.

PARIS,
TYPOGRAPHIE DE FIRMIN DIDOT,
RUE JACOB, 56.

HISTOIRE ROMAINE

DE

DION CASSIUS,

TRADUITE EN FRANÇAIS,

AVEC DES NOTES CRITIQUES, HISTORIQUES, ETC.

ET LE TEXTE EN REGARD,

collationné

SUR LES MEILLEURES ÉDITIONS ET SUR LES MANUSCRITS DE ROME, FLORENCE, VENISE, TURIN, MUNICH, HEIDELBERG, PARIS, TOURS, BESANÇON.

PAR E. GROS,

INSPECTEUR DE L'ACADÉMIE DE PARIS.

OUVRAGE CONTINUÉ

PAR V. BOISSÉE.

TOME SIXIÈME.

PARIS,

LIBRAIRIE DE FIRMIN DIDOT FRÈRES,

IMPRIMEURS DE L'INSTITUT,

RUE JACOB, 56.

1863.

BIBLIOTHÈQUE S. J.

AVERTISSEMENT.

M. Gros, après avoir lui-même collationné une partie de l'un des manuscrits de Venise (D) et en avoir fait collationner une autre par scrupule d'éditeur, comme il le dit, a fini par reconnaître le peu d'utilité de cette collation, et il y a renoncé vers la fin du livre XLVIII (l'endroit est indiqué dans mes notes), en sorte que je n'en ai plus eu les variantes à ma disposition. Le lecteur ne doit guère les regretter; il a pu voir (c'est également l'avis de Sturz) que ces variantes n'ont pas d'importance, et que, presque toutes, elles sont fautives.

J'en dirai presque autant du second des manuscrits de Paris (F) dont j'avais commencé à relever les variantes. Mes occupations, dans l'intervalle de temps qui sépare la publication de ce volume

de celle du précédent, ne m'ayant pas laissé tout le loisir désirable pour faire ce dépouillement, M. Egger avait eu d'abord l'obligeance de m'aider à le faire; mais nous n'avons pas tardé à reconnaître que la dépense de temps n'était nullement en rapport avec les résultats obtenus. Ce manuscrit, bien que supérieur au manuscrit D de Venise, est assez moderne (cf. l'Introduction de M. Gros, tome I, p. LIII), et, par conséquent, il est d'une faible autorité. J'ai donc, d'après le conseil de M. Egger, discontinué ce travail. Quant à l'autre manuscrit (E), un examen attentif nous a convaincus que Robert Étienne et Reimarus avaient relevé tout ce qui avait quelque valeur ou quelque importance, et qu'on pouvait avoir confiance dans les citations de ces deux savants. Je n'ai pas, malgré cela, renoncé, ni pour l'un ni pour l'autre de ces deux manuscrits, à les consulter directement dans les passages douteux ou altérés. Comme pour D, j'indique en note l'endroit (c'est le même pour E et pour F) à partir duquel j'ai pris ce parti.

Les modifications apportées au plan primitif de cette publication m'ont permis de faire entrer quatre livres dans le volume précédent : celui-ci en contient également quatre. Les deux suivants

en contiendront, l'un et l'autre, cinq, de manière à terminer, avec le tome VIII, ce qui nous reste de livres entiers de Dion Cassius, et à renfermer dans les deux suivants les parties de Xiphilin qui remplacent, pour nous, les parties perdues de l'Histoire Romaine.

V. B.

Paris, 7 octobre 1863.

ΤΩΝ

ΔΙΩΝΟΣ

ΙΣΤΟΡΙΩΝ ΡΩΜΑΙΚΩΝ

ΤΑ ΒΙΒΛΙΑ

ΜϚ′, ΜΖ′, ΜΗ′, ΜΘ′.

ΤΩΝ

ΔΙΩΝΟΣ

ΙΣΤΟΡΙΩΝ ΡΩΜΑΙΚΩΝ

ΤΟ ΤΕΣΣΑΡΑΚΟΣΤΟΝ ΕΚΤΟΝ ΒΙΒΛΙΟΝ [1].

Τάδε ἐνεστιν ἐν τῷ τεσσαρακοστῷ ἕκτῳ τῶν Δίωνος Ῥωμαϊκῶν·

Ὡς Καλῆνος ὑπὲρ Ἀντωνίου Κικέρωνι ἀντεῖπεν.

Ὡς Ἀντώνιος ὑπὸ Καίσαρος καὶ τῶν ὑπάτων περὶ Μουτίναν ἡττήθη.

Ὡς Καῖσαρ ἐς Ῥώμην ἦλθε, καὶ ὕπατος ἀπεδείχθη.

Ὡς Καῖσαρ καὶ Ἀντώνιος καὶ Λέπιδος συνώμοσαν.

Χρόνου πλῆθος ἔτος Ἕν, ἐν ᾧ ἄρχοντες οἱ ἀριθμούμενοι οἵδε ἐγένοντο·

Γ. Οὐίβιος ὁ Πάνσας Καπρωνιανὸς, καὶ Αὖλος Ἵρτιος, Αὔλου υἱός [2].

1. J'ai eu pour ce livre la collation des mêmes manuscrits que pour le XLV, à l'exception du manuscrit de Tours (Peiresc) qui ne contient aucun extrait de ce livre, et de J qui finit avec le livre XLV.

2. Les noms des consuls se lisent diversement dans plusieurs mss.

HISTOIRE ROMAINE

DE DION.

LIVRE QUARANTE-SIXIÈME.

Matières contenues dans le quarante-sixième livre de l'Histoire romaine de Dion.

Comment Calénus répondit à Cicéron, en faveur d'Antoine, § 1-28.

Comment Antoine fut défait près de Mutina par César et les consuls, § 29-38.

Comment César vint à Rome et fut nommé consul, § 39-49.

Comment César, Antoine et Lépidus formèrent ensemble une conspiration, § 50-56.

Espace de temps : une année, durant laquelle on compte pour consuls :

C. Vibius Pansa Caprónianus, et Aulus Hirtius, fils d'Aulus.

D : Ὕβιος ὕπατος ὁ Πάνσας Καπρωνιανὸς Ὕλος καὶ Αὔλου υἱός; E : Αὔβιος ὕπατος ὁ Σπάνσας Καπρωνιανὸς, Αὖλος Ἵρτιος καὶ Αὔλου υἱός; F : Γ. Αἴβυος Γ. υἱὸς Πάνσας Καπρωνιανὸς, Αὖλος Ἵτιος καὶ Αὔλου υἱός; G: Αἴβιος (le A est d'une autre main) Γνι. ὁ Σπάνσας, le reste comme dans le texte ci-dessus.

R.p.451. 1. Τοιαῦτα μὲν τοῦ Κικέρωνος εἰπόντος, ὁ Καλῆνος ὁ Κύϊντος Φούφιος [1] ἀνέστη, καὶ ἔλεξεν· « Ἄλλως μὲν οὐδὲν οὔθ' ὑπὲρ Ἀντωνίου τι ἀπολογήσασθαι, οὔτε Κικέρωνος καθάψασθαι ἐδεόμην (οὐδὲ γὰρ οὐδ' [2] ἡγοῦμαι δεῖν ἐν ταῖς τοιαύταις σκέψεσιν, οἷα ἡ παροῦσά ἐστιν, οὐδέτερον αὐτῶν ποιεῖν, ἀλλ' ἁπλῶς ἅ τις φρονεῖ ἀποφαίνεσθαι· ἐκεῖνα μὲν γὰρ δικαστηρίου, ταῦτα δὲ συμβουλίας ἔργα ἐστὶν [3]), ἐπειδὴ δὲ οὗτος τόν τε Ἀντώνιον κακῶς, διὰ τὴν ἔχθραν τὴν ὑπάρχουσαν σφίσι [4], λέγειν ἐπεχείρησεν, ὃν [5] ἐχρῆν, εἴπερ τι
R. .452. ἠδικήκει, ἐσηγγελκέναι καὶ προσέτι καὶ ἐμοῦ διαβόλως ἐμνημόνευσεν [6], ὡς οὐκ ἂν ἄλλως τὴν ἑαυτοῦ δεινότητα διαδείξας, εἰ μή τινας ἀναίδην [7] προπηλακίσειε, προσήκει καὶ ἐμοὶ τὰ μὲν ἀπολύσασθαι, τὰ δὲ ἀνταιτιάσασθαι· ἵνα μήτε τοῦτον ἥ τε οἰκεία θρασύτης, ἀντιλογίας ἁμαρτοῦσα, καὶ ἡ ἐμὴ σιωπή, πονηροῦ συνειδότος ὑποψίαν λαβοῦσα, ὠφελήσῃ· μήθ' ὑμεῖς, ἀπατηθέντες ὑφ' ὧν εἶπε, χεῖρον βουλεύσησθε, τὴν ἰδίαν αὐτοῦ πρὸς τὸν Ἀντώνιον ὀργὴν ἀντὶ τῶν κοινῇ συμφερόντων ἀντικαταλλαξάμενοι.

2. « Οὐδὲ γὰρ ἄλλο γε οὐδὲν διαπρᾶξαι βούλεται, ἢ ἵνα ἡμεῖς, τὸ τὰ ἀσφαλέστατα τῷ κοινῷ προϊδεῖν ἀφέντες [8], στασιάσωμεν αὖθις. Τοῦτο γὰρ οὐ νῦν πρῶτον ποιεῖ· ἀλλ' ἀπ' ἀρχῆς, ἀφ' οὗπερ πρὸς τὴν πολιτείαν προσῆλθεν,

1. C, D, H : Ρούφιος; G : Οὐφιος, et en marge ρ. Sur ce discours, cf. l'Introduction de M. Gros et les auteurs cités par Reimarus, note 3, et aussi l'Examen des historiens d'Auguste, par M. Egger, p. 292.

2 F et Bekk.; vulg. om. — 3. Avec R. Étienne je mets les mots οὐδὲ γὰρ ... ἔργα ἐστι entre parenthèses; dans G, μὲν γὰρ... ἔργα est en marge et d'une

1. Cicéron ayant ainsi parlé, Q. Fufius Calénus se leva et s'exprima en ces termes : « Je n'avais nul dessein de « prendre la défense d'Antoine, ni d'attaquer Cicéron (il « ne faut, en effet, selon moi, rien faire de semblable « dans des délibérations aussi importantes que celle d'au- « jourd'hui, où chacun doit simplement donner son avis; « car, de ces deux choses, la première est de la compé- « tence d'un tribunal qui juge; la seconde, du ressort « d'une assemblée qui délibère); mais puisque, poussé « par leur haine mutuelle, Cicéron, non content de se « répandre en injures contre Antoine, au lieu de le tra- « duire en justice, s'il était coupable, a, de plus, parlé « de moi en termes calomnieux, comme si, pour lui, il « n'y avait d'autre moyen de montrer son talent que de « couvrir impudemment de boue ses concitoyens; il est « de mon devoir de réfuter ses imputations et de l'ac- « cuser à mon tour, de crainte que l'audace qui lui est « particulière, si elle ne rencontrait pas de contradiction, « ou que mon silence, faisant soupçonner en moi une « conscience coupable, ne tournent à son profit; et que, « de votre côté, trompés par ses paroles, vous-mêmes, « épousant son ressentiment contre Antoine, au lieu « d'écouter l'intérêt commun, vous ne preniez une ré- « solution funeste. »

2. « Il ne se propose, en effet, d'autre but que de « nous faire négliger les précautions les plus capables « d'assurer le bien public, afin de nous jeter de nouveau « dans les séditions. Et ce n'est pas aujourd'hui pour la « première fois qu'il tient cette conduite; depuis le pre-

main plus moderne. — 4. Cicéron, dans ses Philipp. (notamment I, 4 et 2), se défend de toute inimitié personnelle contre Antoine. — 5. C : ἔν.

6 Cf. XLV, 46.

7. Vulg. et les mss.; Bekk. : ἀνέδην.

8. A, B, C (D : ἀφέντε). F, G, I et Bekk.; vulg. ἀφέντες προιδεῖν.

ἄνω καὶ κάτω ταράττων διατετέλεκεν[1]. Ἦ γὰρ οὐχ οὗτός ἐστιν ὁ τόν τε Καίσαρα τῷ Πομπηΐῳ συγκρούσας, καὶ τὸν Πομπηΐον τῷ Καίσαρι καταλλαγῆναι κωλύσας; ὁ πείσας μὲν ὑμᾶς ἐκεῖνα κατ' Ἀντωνίου ψηφίσασθαι, δι' ὧν παρώξυνε τὸν Καίσαρα; πείσας δὲ τὸν Πομπήϊον τήν τε Ἰταλίαν ἐκλιπεῖν, καὶ ἐς τὴν Μακεδονίαν μετοικῆσαι[2]; ὅπερ που αἰτιώτατον πάντων τῶν μετὰ ταῦτα συμβάντων ἡμῖν κακῶν ἐγένετο. Οὐχ οὗτός ἐστιν ὁ τόν τε Κλώδιον διὰ Μίλωνος ἀποκτείνας, καὶ τὸν Καίσαρα διὰ Βρούτου φονεύσας[3]; ὃ τόν τε[4] Κατιλῖναν ἐκπολεμώσας ἡμῖν, καὶ τὸν Λεντοῦλον ἄκριτον ἀπολέσας;

3. « Ὅθεν ἔγωγε καὶ πάνυ ἂν ὑμῶν θαυμάσαιμι, εἰ τότε ἐπ' ἐκείνοις μεταγνόντες, καὶ δίκην παρ' αὐτοῦ λαβόντες, εἶτα καὶ νῦν ὅμοια αὐτῷ καὶ λέγοντι καὶ πράττοντι πεισθήσεσθε. Ἦ οὐχ ὁρᾶτε, ὅτι καὶ μετὰ τὸν τοῦ
R. p.453. Καίσαρος θάνατον, ὅτε μὲν τὰ πράγματ' ὑμῶν[5] δι' Ἀντώνιον ὅτι[6] μάλιστα (ὡς οὐδ' αὐτὸς ἀρνήσασθαι[7] δύναται) κατέστη, ἀπεδήμησε, καὶ ἀλλότριον καὶ ἐπικίνδυνον ἑαυτῷ τὸν τῆς ὁμονοίας[8] ἡμῶν βίον εἶναι νομίζων· ἐπεὶ δὲ τεταραγμένα αὐτὰ αὖθις[9] ἤσθετο, μακρὰ[10] χαίρειν τῷ τε υἱεῖ καὶ ταῖς Ἀθήναις φράσας, ἐπανῆλθε[11]; καὶ τὸν μὲν

1. Reiske voudrait ici ajouter πάντα; les exemples rassemblés par Wesseling (Hérodt., III, 3) démontrent l'inutilité de cette addition.
2. Aucun témoignage authentique ne confirme cette accusation.
3. Cicéron (Philipp., II, 11 et 12) réfute cette calomnie.
4. F et Bekk.; vulg. : ὅ τε τόν. — 5. A, B, G, I, H : πράγματ' ἡμῶν; C : πράγματα ὑμῶν.

« mier jour où il est arrivé aux affaires, il n'a cessé d'y « introduire le désordre et le trouble. N'est-ce pas lui, « en effet, qui a brouillé César et Pompée, et empêché « Pompée de se réconcilier avec César? N'est-ce pas lui « qui vous a persuadé de rendre contre Antoine ces dé- « crets qui l'ont irrité contre César, et conseillé à Pom- « pée d'abandonner l'Italie pour se transporter en Ma- « cédoine, détermination qui a été la principale cause de « tous les maux que nous avons éprouvés dans la suite? « N'est-ce pas lui qui a fait tuer Clodius par Milon, et « assassiner César par Brutus? N'est-ce pas lui qui a poussé « Catilina à entreprendre la guerre contre nous, et mis « Lentulus à mort sans jugement? »

3. « Aussi mon étonnement serait grand si, après « vous être alors repentis de ces mesures et en avoir puni « cet homme, vous vous laissiez aujourd'hui encore en- « traîner par lui, lorsqu'il tient devant vous le même « langage et la même conduite qu'autrefois. Ne le voyez- « vous pas, après la mort de César, lorsque vos affaires « eurent été rétablies, principalement par Antoine (lui- « même ne peut le nier), se mettre en voyage dans la « persuasion qu'il ne lui appartenait pas, qu'il était même « dangereux pour lui de vivre avec nous au sein de la con- « corde; et, lorsqu'il apprend que les troubles ont recom- « mencé, dire un long adieu à son fils et à Athènes pour

6. B, Xyl., Reim., Sturz et Bekk.; vulg. et C, D, E, F, G, H : ἔτι.

7. B, D, F, G, H, K et Bekk.; vulg. et A, C, E : ἀρνεῖσθαι.

8. C : ἡγεμονίας, et en marge : ὁμονοίας. — 9. A, B, F, I et Bekk.; vulg.: αὐθις, αὐτά; C, D, H om. : αὐτά. — 10. B, Sturz et Bekk.; G : μακρᾷ; vulg. : μακράν.

11. Cf. XLV, 18.

Ἀντώνιον, ὃν τέως ἀγαπᾶν ἔλεγεν[1], ὑβρίζει καὶ λοιδορεῖ· τῷ δὲ δὴ Καίσαρι, οὗ καὶ τὸν πατέρα ἀπέκτεινε, συναίρεται[2], κἂν οὕτω τύχῃ, κἀκείνῳ οὐκ ἐς μακρὰν ἐπιθήσεται[3]· ἄπιστός τε γὰρ φύσει καὶ ταραχώδης ἐστὶ, καὶ οὔτε τι ἕρμα ἐν τῇ ψυχῇ ἔχει, καὶ πάντα ἀεὶ κυκᾷ καὶ στρέφει, πλείονας μὲν τροπὰς τρεπόμενος τοῦ πορθμοῦ[4], πρὸς ὃν ἔφυγεν (ἐφ' ᾧπερ[5] καὶ αὐτόμολος[6] ἐπωνομάσθη) πάντας[7] δὲ ὑμᾶς[8] ἀξιῶν καὶ φίλον καὶ ἐχθρὸν νομίζειν, ὃν ἂν αὐτὸς κελεύσῃ[9].

4. « Διὰ μὲν δὴ ταῦτα φυλάττεσθε τὸν ἄνθρωπον. Γόης γάρ ἐστι, καὶ μάγος[10], καὶ ἐκ μὲν τῶν κακῶν τῶν ἀλλοτρίων[11] καὶ πλουτεῖ καὶ αὔξει[12], συκοφαντῶν, ἕλκων[13] σπαράττων τοὺς μηδὲν ἀδικοῦντας, ὥσπερ οἱ κύνες, ἐν δὲ δὴ τῇ κοινῇ ὁμονοίᾳ ἀπορρεῖ καὶ φθίνει· οὔτε γὰρ ἡ φιλία, οὔθ' ἡ εὔνοια ἡμῶν ἡ πρὸς ἀλλήλους τοιοῦτον δύνανται τρέφειν ῥήτορα. Ἐπεὶ πόθεν ἄλλοθεν πεπλουτηκέναι αὐτὸν οἴεσθε; πόθεν μέγαν[14] γεγονέναι; Οὐ γάρ που καὶ ὁ πατὴρ

1. Cicéron, dans ses Philipp., prétend avoir été provoqué par les injures d'Antoine; il proteste n'avoir renoncé à son amitié que par amour pour le bien public. — 2. Reiske et Bekk.; « quod sane est usitatius », dit Sturz, qui, avec les mss., conserve la vulg. συναίρει; A, B, F, I : συναίρειν. L'*Index* cite encore un autre passage de Dion (Fr., CXXXVII, tome Ier de Sturz) où l'actif se trouve employé dans le sens de *aider* : κἂν μηδὲ ἑτέροις συναίροντες. Mais Sturz déclare ce passage altéré, et M Gros (cf. sa note, tome II, p. 192, Fr. CCCXXI), dans la présente édition, a, par une ingénieuse conjecture, rétabli le moyen; endroit où Bekk., cependant, a conservé la vulg. sans aucune observation. Je dois ajouter aussi qu'au ch. 6 de ce livre on lit dans F : καὶ τούτοις συναίρει (au lieu de la vulg. συναίρῃ), καὶ διὰ τούτων τρέφῃ.

3. Vell. Paterc. II, 62 : « Cicero, insito amore Pompeianarum par-

« revenir ici? Antoine, que jusque-là il disait être son « ami, devient l'objet de ses injures et de ses outrages, « tandis qu'il se fait le protecteur de César, dont il a tué « le père, bien que, si l'occasion s'en présente, il ne doive « pas tarder à lui dresser, à lui aussi, quelque embûche. « Car, de son naturel, il est sans foi, il est brouillon; il « n'y a dans son âme rien sur quoi on puisse faire fond; « sans cesse il embrouille et bouleverse tout, se repliant « en plus de replis que ce détroit près duquel il s'est ré- « fugié, et d'où lui est venu le surnom de transfuge; en « un mot, voulant que tous vous ayez pour ami ou pour « ennemi celui qu'il vous aura désigné. »

4. « Ainsi donc, gardez-vous de cet homme. Il est « artificieux et magicien; les maux d'autrui font sa ri- « chesse et sa grandeur; il calomnie, entraîne et déchire, « comme les chiens, ceux qui ne font point de mal; au « sein de la paix générale, il tombe dans l'abattement et « la consomption, car notre amitié et notre concorde ne « peuvent nourrir cet orateur fameux. Par quelle voie « donc pensez-vous qu'il se soit enrichi, qu'il soit de- « venu grand? Son père le foulon, continuellement oc-

tium, Cæsarem laudandum et tollendum censebat, quum aliud diceret, aliud intelligi vellet. » — 4. Le détroit de Messine, qui sépare l'Italie de la Sicile, décrit avec des couleurs si vives par Justin (IV, 1), et célèbre dans l'antiquité par les gouffres de Charybde et Scylla. On sait que Cicéron n'alla pas plus loin. — 5. G : ὥνπερ. — 6. Cf. XXXVI, 27 et XXXI, 63.

7. Reiske change πάντας en πάντα, qu'il fait rapporter à φίλον καὶ ἐχθρόν.

8. E, F, H : ἡμᾶς. — 9. F : κελεύσει ; Plut., 45 : Τοῦ δὲ Κικέρωνος ἀκμὴν ἔσχεν ἡ δύναμις ἐν τῇ πόλει τότε μεγίστην, καὶ κρατῶν ὅσων ἐβούλετο, κ.τ.λ.

10. Fabricius : « Qui dicendi arte potest causas in omnem partem vertere, et τὸν λόγον κρείττονα ἥττονα ποιεῖν. » — 11. C : τῶν ἀλλοτρίων κακῶν.

12. Bekk. : αὔξεται.

13. C : συκοφαντῶν μὲν, ἕλκων. — 14. H : μέγα.

αὐτῷ ὁ[1] κναφεὺς, ὁ τάς τε σταφυλὰς καὶ τὰς ἐλαίας ἀεί ποτε ἐργολαβῶν, ἢ γένος ἢ πλοῦτον κατέλιπεν, ἄνθρωπος ἀγαπητῶς ἔκ τε τούτων καὶ ἐκ τῶν πλυνῶν διατρεφόμενος, καὶ καθ' ἑκάστην ἡμέραν καὶ νύκτα τῶν αἰσχίστων ἀναπιμπλάμενος. Ἐν οἷς αὐτὸς τραφεὶς[2], οὐκ ἀπεικότως τοὺς κρείσσονας αὐτοῦ καὶ πατεῖ καὶ πλύνει, λοιδορίαις τισὶν ἐξ ἐργαστηρίων καὶ τριόδων ἐπιτετηδευμέναις[3] χρώμενος.

R. p. 454. 5. « Εἶτα τοιοῦτος αὐτὸς ὤν, καὶ γυμνὸς ἐν γυμνοῖς αὐξηθείς, καὶ οἰσπώτας[4] καὶ ὑσπελέθους καὶ σπατίλας συλλέγων, ἐτόλμησας, ὦ μιαρώτατε, πρῶτον μὲν τὴν τοῦ[5] Ἀντωνίου ὥραν διαβαλεῖν, ἀνθρώπου καὶ παιδαγωγοῖς καὶ διδασκάλοις κατὰ τὴν τοῦ γένους ἀξίαν κεχρημένου· ἔπειτα δὲ κατηγορῆσαι, ὅτι τὰ Λυκαῖα τὴν πάτριον ἑορτὴν ποιῶν, γυμνὸς ἐς τὴν ἀγορὰν ἐσῆλθεν; ἀλλὰ τί, ὦ πάσαις μὲν ταῖς ἀλλοτρίαις ἐσθῆσι, διὰ τὴν πατρῴαν τέχνην ἀεὶ χρησάμενος, ὑφ' ὑπάντων δὲ τῶν ἀπαντώντων[6] καὶ γνωριζόντων αὐτὰς ἀποδυθείς, ἐχρῆν ποιῆσαι ἄνθρωπον μὴ μόνον ἱερέα, ἀλλὰ καὶ ἡγεμόνα τῶν συνιερέων ὄντα; Μὴ πέμψαι τὴν πομπήν; μὴ ἑορτάσαι τὴν ἑορτήν; μὴ θῦσαι κατὰ τὰ πάτρια; μὴ γυμνωθῆναι; μὴ ἀλεῖψαι[8]; Ἀλλ' οὐ τοῦτ' αὐτῷ, φησὶν, ἐγκαλῶ, ἀλλ' ὅτι τε γυμνὸς ἐν τῇ ἀγο-

1. Bekk.; vulg. om. — 2. Cf. Plut. 1. Calénus suit ici la tradition qui convient le mieux à son dessein. — 3. Reim. et les éd. subséq., d'après les mss.; vulg. : ἐπιτετηδευμένως. — 4. 1, Reim. (cf. la note *g*), Sturz et Bekk.; A, D, E, F, G, K : οἰσπότας (B : οἷς πότας); C et H : οἰπότας.

5. D, F et Bekk.; vulg. om. — 6. G om. : δὲ τῶν ἁπαντώντων.

« cupé de ses entreprises de raisins et d'olives, ne lui « a laissé ni illustration de race, ni fortune, lui qui avait « grand'peine à vivre de ce métier et de son lavoir, et « se gorgeait, chaque jour et chaque nuit, des mets les « plus dégoûtants. C'est à la suite d'une telle éducation « que ce personnage se permet de fouler aux pieds ceux « qui valent mieux que lui, et de leur laver la tête avec « des injures d'atelier et de carrefour. »

5. « Eh bien donc ! toi qui as grandi nu au milieu des « gens nus, ramassant la crasse de la laine des brebis, la « fiente des pourceaux et les excréments humains, tu as « osé d'abord, homme impur, calomnier la jeunesse d'An- « toine, d'Antoine qui a eu des pédagogues et des maîtres « convenables à la noblesse de sa race, et l'accuser de ce « que, pendant la célébration des Lupercales, fête insti- « tuée par nos ancêtres, il est entré nu dans le Forum ! « Mais toi, qui as toujours, par suite du métier de ton « père, usé de vêtements qui ne t'appartenaient pas et « dont te dépouillaient les passants qui les reconnais- « saient, dis, comment devait agir un homme qui non- « seulement était prêtre, mais de plus le chef de ses col- « lègues ? Ne pas faire cette procession ? ne pas célébrer « la fête? ne pas offrir le sacrifice consacré par la coutume « de nos ancêtres ? ne pas se mettre nu ? ne pas se frotter « d'huile? Mais, dit Cicéron, ce n'est pas là ce que je lui « reproche ; c'est d'être entré nu dans le Forum, c'est « d'y avoir adressé au peuple une harangue pareille à celle

7. Antoine avait été nommé chef du collége des Juliens, ajouté, on l'a vu (XLIV, 6), aux deux colléges des Luperques.

8. Les Luperques couraient par la ville nus, avec une ceinture au bas des reins, et frottés d'huile. Au lieu de ἀλείψαι, leçon des éd. et des mss., Reiske voudrait lire ἀλείψασθαι.

ρᾷ, καὶ ὅτι τοιαῦτα ἐδημηγόρησε. Πάνυ γὰρ πάντα τὰ προσήκοντα ἀκριβῶς ἐν τῷ κναφείῳ μεμάθηκεν, ἵνα καὶ ἁμαρτήματός τινος ἀληθινοῦ αἰσθάνηται, καὶ ἐπιτιμᾷν αὐτῷ δικαίως δύνηται.

6. « Ἐγὼ δὲ ὑπὲρ μὲν ἐκείνων μετὰ ταῦτα ἃ[1] προσήκει πάντα ἐρῶ· τοῦτον[2] δὲ ἐν τῷ παρόντι ἀνερέσθαι[3] τι βούλομαι. Οὐ σὺ μέντοι ἔν τε τοῖς ἀλλοτρίοις κακοῖς ἐντέθραψαι, καὶ ἐν ταῖς τῶν πέλας συμφοραῖς ἐκπεπαίδευσαι; Καὶ διὰ τοῦτο ἐλευθέριον μὲν μάθημα οὐδὲν ἐπίστασαι, συνέδριον δέ τι κατασκευάσας ἐνταῦθα, ὥσπερ αἱ πόρναι, τὸν δώσοντά τι ἀεὶ ἀναμένεις[4]; καὶ προαγωγέας[5] τῶν λημμάτων πολλοὺς[6] ἔχων, πολυπραγμονεῖς τίς τίνα ἠδίκηκεν[7], ἢ δοκεῖ γε ἠδικηκέναι· τίς τίνα μισεῖ· τίς τίνι ἐπιβουλεύει; Καὶ τούτοις συναίρῃ[8], καὶ διὰ τούτων τρέφῃ· πωλῶν μὲν αὐτοῖς τὰς παρὰ τῆς τύχης ἐλπίδας, ἐργολαβῶν δὲ καὶ τὰς τῶν δικαστῶν ἀποφάσεις[9] καὶ φίλον μὲν μόνον τὸν τὸ πλέον ἀεὶ διδόντα, ἐχθροὺς δὲ δὴ πάντας τοὺς ἀπράγμονας, ἢ καὶ ἄλλῳ τινὶ συνηγόρῳ χρωμένους
R.p.455. νομίζων, καὶ τοὺς μὲν ἐν χερσὶν ἤδη ὄντας οὐδ' εἰδέναι δοκῶν, ἀλλὰ καὶ δι' ὄχλου ποιούμενος, τοὺς δ' ἄρτι προσιόντας σαίνων καὶ γελῶν, ὥσπερ αἱ πανδοκεύτριαι;

1. F om. — 2. C : τοῦτο. — 3. C : ἀναίρεσθαι.

4. Calénus critique les discours que Cicéron a prononcés au Forum comme composés uniquement en vue du lucre. Il l'accuse de vendre son éloquence au plus offrant. — 5. H : προαγωγίας; Basile, scholiaste de Grégoire de Nazianze, qui cite (Disc. XXIV) ce passage de Dion, lit :

« qu'il a prononcée. Oh! il les a, dans son atelier de « foulon, toutes apprises avec une exactitude si parfaite, « qu'il s'aperçoit d'un manque véritable de convenances, « et peut avec justice en faire le sujet d'un blâme contre « Antoine. »

6. « Pour moi, je dirai à ce propos tout ce qu'il con- « vient de dire ; mais, pour le moment, je veux adresser « quelques questions à cet homme. N'as-tu pas été nourri « au milieu des malheurs d'autrui, élevé au milieu des « calamités de tes voisins? C'est, sans doute, pour cela « que tu ne connais aucune science digne d'un homme « libre; que tu as, comme les courtisanes, établi ici « une sorte de collége ou tu te tiens sans cesse, atten- « dant qui te donne? que tu as de nombreux procureurs « chargés de fournir à tes gains, et par l'entremise des- « quels tu t'enquiers avec soin quel est celui qui a fait « tort à quelqu'un; quel est celui qui hait quelqu'un; « quel est celui qui tend des embûches à quelqu'un? Tu « leur viens en aide, et c'est par eux que tu vis, leur ven- « dant des espérances qui dépendent du hasard, entrepre- « nant même d'obtenir le suffrage des juges en leur fa- « veur, n'ayant pour ami que celui qui donne le plus, et « regardant comme ennemis tous ceux qui n'ont point « d'affaires ou qui s'adressent à un autre défenseur, ne « faisant pas même semblant de connaître ceux qui sont « déjà entre tes mains et leur créant des embarras, mais « prodiguant les caresses et les sourires aux nouveaux ve- « nus, ainsi que le font les cabaretières. »

προαγωγούς. — 6. A, B, F, G, I, K et le Scholiaste cité dans la note précédente; vulg. : ἀεί.

7. Le même Scholiaste : ἠδίκησεν; plus bas, il omet les mots : τίς τίνα μισεῖ.

8. F : συναίρει. Cf., ci-dessus, p. 6, note, 2. — 9. G : αἰτιοφάσεις.

7. « Καὶ πόσῳ κρεῖττον ἦν[1] καὶ σὲ Βαμβαλίωνα[2] γεγονέναι (εἴγε τις ὁ Βαμβαλίων οὗτός ἐστιν), ἢ τοιοῦτον ἐπανηρῆσθαι βίον, ἐν ᾧ πᾶσα ἀνάγκη ἦτοι τὸν ὑπὲρ τοῦ δικαίου λόγον πωλεῖν, ἢ καὶ τοὺς ἀδικοῦντας σώζειν· καίτοι σύγε οὐδὲ ταῦτα καλῶς ποιεῖν[3], καίπερ τρία ἐν Ἀθήναις ἔτη κατατρίψας[4], δύνασαι. Ποῦ; πόθεν; ὅστις ὑποτρέμων ἀεὶ πρὸς τὰ δικαστήρια προσέρχῃ, καθάπερ ὁπλομαχεῖν μέλλων[5], καὶ φθεγξάμενος ταπεινόν τι καὶ τεθνηκὸς ἀπαλλάττῃ· μηθ' ὧν οἴκοθεν ἐσκεμμένος ἥκεις μνημονεύων, μήτε ἐκ τοῦ παραχρῆμά τι εἰπεῖν εὑρίσκων. Ἐς μὲν γὰρ τὸ φῆσαι καὶ ὑποσχέσθαι τι, θρασύτητι πάντας ἀνθρώπους ὑπερβάλλεις, ἐν δὲ δὴ τοῖς ἀγῶσιν αὐτοῖς, ἔξω τοῦ λοιδορῆσαί τινα καὶ κακῶς εἰπεῖν, καὶ ἀσθενέστατος[6] καὶ δειλότατος εἶ. Ἢ[7] οἴει τινὰ ἀγνοεῖν, ὅτι μηδένα τῶν θαυμαστῶν σου τούτων λόγων, οὓς ἐκδέδωκας[8], εἴρηκας, ἀλλὰ πάντας αὐτοὺς μετὰ ταῦτα συγγέγραφας[9], ὥσπερ οἱ τούς τε στρατηγοὺς καὶ τοὺς ἱππάρχους τοὺς πηλίνους πλάττοντες; Εἰ δ' ἀπιστεῖς, ἀναμνήσθητι πῶς μὲν[10] τοῦ Οὐέρρου[11] κατηγόρησας, καίπερ καὶ ἐκ τῆς

1. H om. — 2. Cf. note XLV, 47.

3. A, B, D, F, I, Reiske, approuvé par Reim. et suivi par Sturz et Bekk., vulg. : ποιεῖς, C : ποιεῖς. — 4. A la suite de l'affaire de Sextus Roscius. F : τρία ἔτη ἐν Ἀθήναις διατρίψας. — 5. C, D, : θέλων. — 6. G om.

7. G : ἀσθενέτατος. — 8. D : ἐδέδωκας.

9. Les orateurs anciens, de même que ceux d'aujourd'hui, retouchaient avec soin, avant de les publier, les discours qu'ils avaient prononcés. Calénus, dans son animosité contre Cicéron, insinue que lui seul le faisait.

10. L'absence de δέ dans le membre de phrase suivant, pour corres-

7. « Combien ne valait-il pas mieux pour toi devenir un « Bambalion, si Bambalion il y a, que d'avoir adopté une « manière de vivre qui te contraint à vendre ta parole, « soit pour la défense de la justice, soit pour le salut des « coupables ? Et pourtant, ce métier, bien que tu aies « passé trois ans à Athènes, tu es incapable de l'exercer « honorablement. Comment le pourrais-tu, en effet ? Ja- « mais tu ne parais devant les tribunaux qu'en tremblant, « comme si tu devais combattre les armes à la main ; tu « te retires après avoir prononcé quelques paroles ram- « pantes et sans vie, ne te souvenant plus de ce que tu « as étudié chez toi, et ne trouvant rien à improviser. « Pour affirmer et pour promettre, tu surpasses tout le « monde en audace ; mais, dans le cours des débats, à « part les injures et les mauvais propos, tu es le plus faible « et le plus timide de tous les hommes. Crois-tu qu'au- « cun de nous ignore que nul de ces admirables discours « publiés par toi n'a été prononcé, et que tu les as tous « écrits après coup, à l'exemple de ceux qui fabriquent « des généraux et des maîtres de cavalerie en argile ? Si « tu ne le crois pas, souviens-toi de la façon dont tu as « accusé Verrès, à qui tu as administré certains ingré-

pondre à ce μέν, semble, avec assez de raison, à Reiske, être l'indice d'une lacune. Calénus vient de reprocher à Cicéron la faiblesse de ses discours, qui n'ont quelque force qu'après avoir été de nouveau travaillés à loisir dans son cabinet ; il était donc naturel qu'après avoir parlé du discours (on sait qu'il ne prononça que l'*Actio prima*) prononcé contre Verrès (κατηγόρησας, *tu as accusé de vive voix*), il dît quelques mots des autres discours contre l'ancien préteur de Sicile.

11. A, B, G, K : Ἔρρου, I : ἔῤῥου, mais οὐ d'une autre main.

τέχνης τι τῆς πατρῴας αὐτῷ παρασχὼν, ὅτε ἐνούρησας[1]. Ἀλλὰ γὰρ ὀκνῶ, μὴ τὰ προσόντα σοι ἀκριβῶς λέγων, αὐτὸς ὺ προσήκοντας ἐμαυτῷ λόγους ποιεῖσθαι δόξω.

8. « Ταῦτα μὲν οὖν ἐάσω, καὶ, νὴ Δία, καὶ[2] τὸν Γαουΐνιον, ᾧ τοὺς κατηγόρους παρασκευάσας[3], ἔπειτα οὕτω συνεῖπες, ὥστ' αὐτὸν καταδικασθῆναι[4]· τά τε συγγράμματα, ἃ κατὰ τῶν φίλων συγγράφεις[5], ἐφ' οἷς οὕτως σαυτῷ[6] ἀδικοῦντι σύνοισθα[7], ὥστε μηδὲ δημοσιεύειν αὐτὰ τολμᾶν. Καίτοι καὶ[8] σχετλιώτατον καὶ ἐλεεινότατόν ἐστι, μὴ δύνασθαι ταῦτα ἀρνήσασθαι ἃ πάντων αἴσχιστόν ἐστιν ὁμολογῆσαι. Ἀλλ' ἐγὼ ταῦτα μὲν παραλείψω, τὰ δὲ δὴ[9]
B.p.456. λοιπὰ ἐπεξάξω. Ἡμεῖς μὲν γὰρ, καίπερ δισχίλια τῷ διδασκάλῳ πλέθρα τῆς Λεοντίνων γῆς, ὡς φῂς, δεδωκότες[10], οὐδὲν ἄξιον αὐτῶν ἐμάθομεν· τὰ δὲ δὴ σὰ παιδεύματα τίς οὐκ ἂν θαυμάσειε; Τίνα δ' ἐστὶ ταῦτα; Φθονεῖς ἀεὶ τῷ κρείττονι, βασκαίνεις ἀεὶ τὸν προήκοντα[11], διαβάλλεις τὸν προτετιμημένον, συκοφαντεῖς τὸν δεδυνημένον[12], καὶ μισεῖς μὲν τοὺς ἀγαθοὺς ὁμοίως πάντας, προσποιῇ δὲ δὴ[13] φιλεῖν ἐκείνους μόνους, δι' ὧν ἂν κακουργήσειν τι προσδοκήσῃς[14]. Καὶ διὰ τοῦτο τούς τε νεωτέρους ἐπὶ τοὺς πρεσβυτέρους ἀεὶ παροξύνεις, καὶ τοὺς πιστεύοντάς σοι καὶ ὁτιοῦν, ἐς κινδύνους προάγων, προλείπεις.

1. Reiske veut lire παρασχὼν οἱ ἐνουρῆσαι. Cf. sa note, tome VII, p. 402 et 403 de l'éd. de Sturz. — 2. H om. — 3. D, K : παρεσκεύασας.
4. Cf. XXXIX, 59 et 61. — 5. Allusion au βιβλίον ἀπόῤῥητον du livre XXXIX, ch. 10. — 6. Bekk.; G, F : ἑαυτῷ; vulg. : αὐτῷ. — 7. F : συνῆθα.
8. D om. — 9. D om. — 10. Cf. XLV, 30.

« dients sentant l'art paternel, quand tu as lâché l'urine? « Mais je crains, en rapportant en détail tes qualités, de « paraître moi-même tenir des discours peu convenables « dans ma bouche. »

8. « Je laisse donc ce sujet, et aussi, par Jupiter, « Gabinius, que tu as, après lui avoir suscité des accu- « sateurs, si bien défendu qu'il a été condamné. Je ne « parlerai pas, non plus, des écrits que tu as composés « contre tes amis, et que tu n'oses pas publier, tant « tu as la conscience de ta perversité. Et pourtant rien « de plus affreux, de plus digne de pitié que de ne pou- « voir nier des choses dont l'aveu est la plus grande « de toutes les hontes. Mais je laisse de côté ces con- « sidérations; je ne m'occuperai que du reste. Si nous, « bien que nous ayons, comme tu le dis, donné deux mille « plèthres à notre maître dans le territoire des Léontins, « nous n'avons rien appris qui les vaille, comment ne pas « admirer le talent que tu possèdes? Quel talent? celui « de toujours envier qui vaut mieux que toi, de jalouser « toujours qui est au-dessus de toi, de calomnier qui « t'est préféré, de déchirer qui est au pouvoir, de « haïr tous les gens de bien indistinctement, de ne « rechercher que ceux à l'aide desquels tu comptes faire « tes coups. C'est pour cela que tu excites sans cesse les « jeunes contre les vieux, et que tu abandonnes, après « les avoir poussés dans le danger, ceux qui mettent en « toi la moindre confiance. »

11. Xyl., suivi par Reim., Sturz et Bekk.; leçon confirmée encore par le Grammairien publié dans les *Anecdota* de Bekker, vol. I, p. 171. Vulg. et D, E, F, H : προσήκοντα. — 12. Le même Grammairien : δεδανεισμένον, justement désapprouvé par Sturz. — 13. D om. — 14. E : προσδοκήσοις, H : προσδοκήσεις.

9. « Τεκμήριον δὲ· πρᾶξιν μὲν οὐδεμίαν πώποτε ἐλλογίμου ἀνδρὸς ἀξίαν, οὔτ' ἐν πολέμῳ, οὔτ' ἐν εἰρήνῃ πέπραχας. Ποίους μὲν γὰρ πολέμους ἐνικήσαμεν σοῦ στρατηγοῦντος; ποίαν δὲ χώραν ἐκτησάμεθα σοῦ ὑπατεύοντος; Ἐξαπατῶν δὲ ἀεί τινας τῶν πρώτων καὶ σφετεριζόμενος, ἰδίᾳ μὲν διὰ τούτων πολιτεύῃ[1], καὶ πάνθ' ὅσα βούλει διοικεῖς, δημοσίᾳ δὲ βοᾷς ἄλλως[2], κεκραγὼς τοὺς μιαροὺς ἐκείνους λόγους· « Ἐγὼ μόνος ὑμᾶς φιλῶ, » καὶ, εἰ οὕτω τύχοι[3] « καὶ ὁ δεῖνα, οἱ δ' ἄλλοι πάντες μισοῦσι »· καὶ, « Ἐγὼ μόνος ὑμῖν εὐνοῶ[4], οἱ δ' ἄλλοι πάντες ἐπιβουλεύουσι· » καὶ τὰ ἄλλα[5] τὰ τοιαῦτα, ἐξ ὧν τοὺς μὲν ἐπαίρων καὶ φυσῶν προδίδως, τοὺς δὲ λοιποὺς ἐκπλήττων προστίθεσαι[6]. Κἂν μέν τι χρηστὸν ὑφ' ὁτουδὴ τῶν πάντων γένηται, ἀντιποιῇ τε αὐτοῦ, καὶ σεαυτὸν[7] ἐπ' αὐτὸ ἐπιγράφεις, θρυλλῶν· « Ἐγὼ γὰρ εἶπον, ἐγὼ γὰρ ἔγραψα[8], καὶ δι' ἐμὲ ταῦθ' οὕτω πέπρακται[9]. » Ἂν δέ τι συμβῇ οἷον οὐκ ἔδει, σαυτὸν μὲν ἐξαιρεῖς[10], τοὺς δὲ δὴ ἄλλους πάντας αἰτιᾷ, λέγων, « Μὴ γὰρ ἐστρατήγουν ἐγὼ; μὴ γὰρ ἐπρέσβευον; μὴ γὰρ ὑπάτευον; » Καὶ λοιδορεῖς μὲν ἀεὶ πάντας πανταχοῦ, τὴν ἐκ τοῦ θρασέως παῤῥησιάζεσθαι δοκεῖν δύναμιν περὶ πλείονος τοῦ[11] τι[12] τῶν δεόντων εἰπεῖν ποιού-

1. Reiske : *Rebus tuis studes, studia tua urges et perficis.* Le même, dans ses *Animadversiones*, fait voir que πολιτεύεσθαι est pris par Diodore dans le sens de *aliquem pluresve suis partibus et studiis alligare*, n'importent les moyens. — 2. En marge dans G, d'une autre main. — 3. G : τύχῃ — 4. A, B, C. D, G, I, Bekk. et le Grammairien cité plus haut; vulg. et les autres mss. : εὐνοῶ ὑμῖν.

5. F : τἆλλα.

9. « La preuve, c'est que tu n'as jamais, ni dans la « guerre, ni dans la paix, accompli aucune action digne « d'un homme estimable. Quelle victoire, en effet, avons- « nous remportée sous ta conduite? quel pays avons-nous « conquis sous ton consulat? Circonvenant sans cesse et « accaparant quelques-uns des premiers citoyens, tu gou- « vernes par leur entremise, et tu administres tout à ton « gré; en public, tu cries à tort et à travers, nous assour- « dissant de ces abominables paroles : « Moi seul, je vous « aime, ainsi qu'un tel (suivant l'occasion); tous les autres « vous haïssent; » ou bien encore : « Moi seul, j'ai pour « vous de la bienveillance; tous les autres vous tendent « des embûches; » et autres paroles de la sorte, au moyen « desquelles tu trahis les uns en les exaltant et en les rem- « plissant d'orgueil, tandis que tu frappes les autres de « crainte, afin de les attirer à toi. L'un de nous tous, quel « qu'il soit, a-t-il remporté un succès, tu t'inscris pour « une part : « Je l'avais bien dit, répètes-tu; c'est moi « qui ai rédigé le décret, c'est par mes conseils que cela « s'est fait ainsi. » Est-il, au contraire, arrivé un malheur, « tu te mets en dehors, tu accuses tous les autres : « Était- « ce moi, dis-tu alors, qui étais à la tête de l'armée? était- « ce moi qui étais ambassadeur? était-ce moi qui étais « consul? » Partout, toujours, tu injuries tout le monde, « estimant la puissance de la parole plus parce qu'elle te « donne l'apparence d'une audacieuse franchise, que

6. G : προστίθεσθαι. — 7. Sturz (cf. sa note) explique ce mot par *nomen tuum*. — 8. Reiske et Bekk.; vulg. : ἐπέγραψα. Sturz semble approuver Reiske : « Conjungi solent, dit-il, illa duo : εἰπεῖν, *verbis suadere* legem, et γράφειν, *in scripta referre*. » — 9. A, B, C, D, G, H, I et Bekk.; vulg. et E, F, K : ταῦτα πέπραχται οὕτω. — 10. Conjecture de Sturz, d'après la version latine *te eximis;* elle a été suivie par Bekk.; vulg. : ἐξαίρεις.

11. Bekk.; vulg. om. — 12. C om.; D, H : τινός.

μενος, ἔργον δὲ δὴ ῥήτορος οὐδὲν ἄξιον λόγου [1] παρέχῃ [2].

10. « Τί μὲν [3] γὰρ τῶν κοινῶν ἢ σέσωσται ἢ ἐπηνώρθωται διά σε; τίνα δὲ ἀδικοῦντα ὄντως τὴν πόλιν ἐσήγγελκας; τίνα ἐπιβουλεύοντα ἀληθῶς ἡμῖν ἐπιδέδειχας; ἵνα γὰρ τἆλλα ἐάσω, αὐτὰ ταῦθ' ἃ τῷ Ἀντωνίῳ νῦν ἐγκαλεῖς, τοιαῦτα καὶ τοσαῦτά [4] ἐστιν, ὥστε μηδένα ἂν δίκην ἀξίαν αὐτῶν ὑποσχεῖν. Τί ποτ' οὖν, ὁρῶν ἡμᾶς ἀπ' ἀρχῆς ὑπ' αὐτοῦ, ὥσγε καὶ φῂς, ἀδικουμένους, οὐδέποτε ἐπεξῆλθες αὐτῷ παρᾶχρῆμα, οὐδὲ κατηγόρησας [5]; Ἀλλὰ νῦν ἡμῖν λέγεις ὅσα δημαρχήσας παρηνόμησε, καὶ ὅσα ἱππαρχήσας ἐπλημμέλησε, καὶ ὅσα ὑπατεύσας ἐκακούργησεν, ἐξόν σοι τότε εὐθὺς καθ' ἕκαστον αὐτῶν τὴν προσήκουσαν παρ'
R.p.457. αὐτοῦ δίκην εἰλῆφέναι, ἵνα αὐτός τε φιλόπολις ὡς ἀληθῶς ὢν ἐπεφήνεις, καὶ ἡμεῖς καὶ ἀβλαβῆ καὶ ἀσφαλῆ τὴν τιμωρίαν παρ' αὐτὰ τὰ ἀδικήματα ἐπεποιήμεθα. Καὶ μὴν ἀνάγκη δυοῖν θάτερον, ἢ πεπιστευκότα σε τότε ταῦθ' οὕτως ἔχειν, καθυφεικέναι τοὺς ὑπὲρ ἡμῶν ἀγῶνας, ἢ, μὴ δυνηθέντα τινὰ αὐτῶν ἐξελέγξαι, μάτην [6] νῦν συκοφαντεῖν.

11. « Ὅτι γὰρ [7] τοῦθ' οὕτως ἔχει, καθ' ἕκαστον ὑμῖν [8], ὦ Πατέρες, διεξιὼν ἐπιδείξω. Ἔλεγέ τινα ἐν τῇ δημαρχίᾳ [9]

1. C : ἀξιολόγου. — 2. G : παρέχει. — 3. H om. — 4. Les mots καὶ τοσαῦτα, dans G, sont en marge et d'une autre main.

5. Cicéron n'avait pas cessé de résister à Antoine tribun, il le fit condamner par le sénat et chasser de Rome, le fait est constant; mais, lorsqu'une fois César fut dictateur, il ne put résister à Antoine maître de la

« parce qu'elle te permet d'ouvrir un avis utile; comme « orateur, tu n'as donc rien fait qui mérite mention. »

10. « Lequel des intérêts publics as-tu sauvé ou re- « levé? Quel homme réellement coupable envers l'État « as-tu cité en justice? quel homme conspirant véri- « tablement as-tu dénoncé? Pour passer le reste sous « silence, les griefs que tu reproches aujourd'hui à An- « toine sont de telle nature et en tel nombre qu'on « ne saurait leur infliger aucune punition digne de leur « énormité. Pourquoi donc, lorsque, dès le principe, « tu nous voyais, du moins à ce que tu dis, victimes de « ses méfaits, ne l'avoir pas prévenu sur-le-champ, ne « l'avoir pas même accusé? Mais non, aujourd'hui tu « viens nous raconter toutes ses contraventions aux lois « pendant qu'il était tribun du peuple, toutes ses vio- « lences pendant qu'il était maître de la cavalerie, tous « ses maléfices pendant qu'il était consul : et pourtant il « était alors en ton pouvoir de tirer de lui pour chacun « de ses crimes un châtiment convenable : c'était une « occasion de te montrer toi-même véritablement ami « de la patrie, un moyen à nous de nous venger de ses « forfaits au moment même, sans dommage et sans dan- « ger. De deux choses l'une : ou tu croyais alors à leur « réalité, et tu as refusé de combattre pour notre intérêt; « ou, n'ayant pu le convaincre d'aucun de ces crimes, tu « l'attaques maintenant par de vaines calomnies. »

11. « La vérité de mes paroles, Pères Conscrits, cha- « cune de ses actions va vous la démontrer. Si Antoine,

cavalerie, surtout le consul ayant cédé. — 6. Sturz : « Μάτην est potius *falso*, quam *frustra*. Certe Phavorinus dicit : Μάτην· ἀντὶ τοῦ ψεύδος. Ὡς παρὰ Σοφοκλεῖ (Electr. 644) ματαίαν βάξιν, ἤγουν ψευδῆ φήμην. »

7. Reiske aimerait mieux δέ.

8. C : ἡμῖν. — 9. Cf. LXV, 26 et LXI, 2.

Ἀντώνιος ὑπὲρ τοῦ Καίσαρος; καὶ γὰρ Κικέρων καὶ ἄλλοι τινὲς ὑπὲρ τοῦ Πομπηΐου. Τί ποτ' οὖν τοῦτον μὲν αἰτιᾶται, ὅτι τὴν φιλίαν τὴν ἐκείνου προείλετο, ἑαυτὸν δὲ, καὶ τοὺς ἄλλους τοὺς τἀναντία αὐτῷ σπουδάσαντας, ἀφίησιν; ἐκώλυσέ τινα ἐκεῖνος ψηφισθῆναι τότε[1] κατὰ τοῦ Καίσαρος. Καὶ γὰρ οὗτος πάνθ', ὡς εἰπεῖν, ὅσα ὑπὲρ τοῦ Καίσαρος ἐγιγνώσκετο. Ἀλλ' ἐμποδὼν, φησὶν, ἐγίγνετο τῇ κοινῇ τῆς βουλῆς γνώμῃ. Καὶ πρῶτον μὲν, πῶς ἂν εἷς ἀνὴρ[2] τοσοῦτον ἴσχυσεν; ἔπειτα δὲ, εἰ καὶ κατεψηφίσθη διὰ τοῦθ', ὥσπερ λέγει, πῶς οὐκ ἂν καὶ ἐκολάσθη; Ἔφυγε γὰρ[3], ἔφυγε πρὸς τὸν Καίσαρα ἀπελθών. Οὐκοῦν καὶ σὺ, ὦ Κικέρων, οὐκ ἀπεδήμησας νῦν[4], ἀλλ' ἔφυγες, ὥσπερ καὶ πρότερον[5]. Ἀλλὰ μήτοιγε[6] καὶ ἐπὶ πάντας ἡμᾶς[7] τὰ σεαυτοῦ ὀνείδη προπετῶς οὕτως ἄγε. Φυγεῖν μὲν γάρ ἐστι τοῦτο, ὃ σὺ πεποίηκας[8], τό τε δικαστήριον φοβηθεὶς, καὶ τὴν τιμωρίαν αὐτὸς ἑαυτοῦ προκαταγνούς. Ἀμέλει καὶ ἐγράφη σοι κάθοδος[9]· πῶς μὲν, καὶ διὰ τίνα, οὐ λέγω, ἐγράφη[10] δ' οὖν· καὶ οὐ πρίν γε ἐπέβης τῆς Ἰταλίας, πρὶν ἐκείνην σοι δοθῆναι. Ἀντώνιος δὲ καὶ ἀπῆλθε πρὸς τὸν Καίσαρα, μηνύσων αὐτῷ τὰ πεπραγμένα, καὶ ἐπανῆλθε, μηδενὸς ψηφίσματος δεηθείς. Καὶ τέλος τήν τε εἰρήνην, τήν τε[11]

1. D, H om. — 2. F et Bekk. : ἀνὴρ εἷς. Quoi qu'en dise ici Calénus, l'opposition d'un seul tribun suffisait.

3. G om. : ἔφυγε γάρ.

4. Après les calendes de juin, Cicéron (cf. Philipp., I, 2), voyant qu'Antoine consul avait le dessus, et ne croyant pas pouvoir vivre à Rome avec tranquillité et dignité, était parti en voyage avec l'intention de ne revenir qu'aux calendes de janvier, époque où de nouveaux magistrats entreraient

« dans son tribunat, a quelquefois parlé en faveur de « César, c'est que Cicéron et quelques autres plaidaient « la cause de Pompée. Pourquoi donc accuser Antoine « d'avoir préféré l'amitié de César, quand lui-même et « les autres, qui ont préféré le parti contraire, sont « laissés de côté ? L'un s'est alors opposé à ce que cer- « tains décrets fussent rendus contre César ; l'autre con- « damnait pour ainsi dire tout ce qui se faisait dans l'in- « térêt de César. Mais il s'est, dit Cicéron, mis en op- « position avec l'avis du sénat. Et d'abord, comment un « seul homme a-t-il eu tant de puissance ? Puis, s'il a « été, ainsi qu'on le dit, poursuivi à ce titre, comment « n'a-t-il pas été châtié ? C'est parce qu'il a pris la fuite, « c'est parce qu'il est allé se réfugier auprès de César. « Et toi aussi, Cicéron, tout récemment encore, tu n'es « point parti en voyage, tu t'es enfui comme auparavant. « Ne viens donc pas nous accabler, dans ta pétulance, « d'injures qui retombent sur toi-même. Car c'est s'exi- « ler soi-même que de faire ce que tu as fait par crainte « d'être traîné devant les tribunaux, te condamnant par « avance au dernier supplice. Sans doute ton rappel a « été décrété. Comment et par qui, je ne m'en inquiète « pas ; il a été décrété, et tu n'es rentré en Italie qu'a- « près avoir obtenu cette faveur. Mais Antoine est allé « trouver César pour lui annoncer ce qui s'était passé, « et il est revenu sans avoir besoin pour cela d'aucun « décret. Enfin il a, par ses négociations, obtenu la paix

en charge. Il avait le droit de légation libre. Son départ était donc bien différent de celui d'Antoine, à qui sa qualité de tribun interdisait de s'absenter un seul jour, sinon pour aller aux Féries Latines.

5. Lors de son exil, pour se dérober aux persécutions de Clodius. Cf. XXXVIII, 17. — 6. C : μὴ τό γε. — 7. E : ὑμᾶς. — 8. H : ὃ συμπεποίηκας.

9. Ceci doit s'entendre de son retour de l'exil (cf. XXXIX, 8), et non de son retour de voyage. — 10. D : ἐγράφην. — 11. F om.

φιλίαν τὴν πρὸς αὐτὸν πᾶσι τοῖς ἐν τῇ Ἰταλίᾳ τότε εὐρεθεῖσιν ἐπρυτάνευσεν· ἧς καὶ οἱ λοιποὶ ἂν μετεσχήκεσαν, εἰ μή σοι πεισθέντες ἐπεφεύγεσαν.

12. Εἶτα τούτων οὕτως ἐχόντων, τολμᾷς λέγειν, ὅτι τόν τε[1] Καίσαρα ἐπὶ τὴν πατρίδα ἐπήγαγε, καὶ τὸν ἐμφύλιον πόλεμον ἐκίνησε, καὶ τῶν μετὰ ταῦτα κακῶν αἰτιώτατος ἡμῖν ἐγένετο; οὐ μὲν οὖν· ἀλλὰ σὺ, ὅστις Πομπηΐῳ μὲν καὶ στρατεύματα ἀλλότρια[2], καὶ ἡγεμονίαν ἔδωκας, Καίσαρα δὲ καὶ τῶν δεδομένων ἀποστερῆσαι ἐπεχείρησας· ὅστις τῷ τε Πομπηΐῳ καὶ τοῖς ὑπάτοις συνεβούλευσας, τὰ μὲν προτεινόμενα ὑπὸ τοῦ Καίσαρος μὴ προσίεσθαι, τὴν δὲ δὴ πόλιν τήν τε Ἰταλίαν ὅλην ἐκλιπεῖν[3]· ὅστις Καίσαρα μὲν[4] οὐδὲ ἐς τὴν[5] Ῥώμην[6] ἐλθόντα εἶδες, πρὸς δὲ τὸν
II p. 43E. Πομπηΐου καὶ ἐς τὴν Μακεδονίαν ἀπέδρας. Καὶ οὐδὲ ἐκείνῳ μέντοι οὐδὲν συνήρω[7], ἀλλὰ περιϊδὼν τὰ γιγνόμενα, ἔπειτ' ἐπειδὴ ἐδυστύχησεν, ἐγκατέλιπες αὐτόν. Οὕτως οὐδὲ ἀπ' ἀρχῆς ὡς δικαιότερα αὐτῷ[8] πράττοντι ἐβοήθησας· ἀλλὰ τήν τε στάσιν κινήσας, καὶ τὰ πράγματα ταράξας, εἶτ' ἐκ τοῦ ἀσφαλοῦς αὐτοῖς ἐφήδρευσας· καὶ τοῦ μὲν πταίσαντος, ὡς καὶ ἀδικοῦντός τι διὰ τοῦτ', εὐθὺς ἀπέστης· πρὸς δὲ τὸν κρατήσαντα, ὡς καὶ δικαιότερον, ἀπέκλινας. Καὶ οὕτω γε, πρὸς τοῖς ἄλλοις κακοῖς, καὶ ἀχάριστος εἶ, ὥστε οὐ μόνον οὐκ ἀγαπᾷς, ὅτι ἐσώθης ὑπ'

1. B : ὅτι τότε. — 2. Les deux légions données par le consul Marcellus à Pompée. Cf. XL, 64-66.
3. Sur la fuite de Pompée, cf. XLI, 6.

« et l'amitié de César pour tous ceux qui se seraient « alors trouvés en Italie, paix où le reste des citoyens « aurait eu aussi sa part, si, cédant à tes conseils, ils « n'avaient pas pris la fuite. »

12. « Les choses étant ainsi, tu oses dire qu'il a lancé « César contre sa patrie, excité la guerre civile, et qu'il « a été la cause principale de tous les maux qui nous « ont accablés dans la suite! Non, non, c'est bien toi, « toi qui as donné à Pompée, avec des légions qui ne « lui appartenaient pas, l'autorité suprême; qui as tenté « d'enlever à César les légions qui lui avaient été don- « nées; c'est bien toi, toi qui as conseillé à Pompée et « aux consuls de ne pas accepter les propositions de « César et d'abandonner Rome et l'Italie; c'est toi, toi « qui n'as pas vu César, pas même lorsqu'il est arrivé à « Rome, et qui as couru rejoindre Pompée en Macé- « doine. Tu ne lui as, à lui non plus, prêté aucun con- « cours; sans t'inquiéter des événements, quand la for- « tune lui a été contraire, tu l'as abandonné. C'est ainsi « que, dès le principe, au lieu de le secourir, bien que « sa cause, selon toi, fût la plus juste; quand tu as eu « semé partout la discorde et le trouble, tu t'es mis dans « un endroit sûr, afin d'observer les deux rivaux, et « que, lorsque l'un d'eux eut succombé, comme s'il « eût, par cela même, commis quelque injustice, tu l'as « aussitôt délaissé pour te tourner vers le parti du vain- « queur comme vers le parti le plus juste. Telle est « l'ingratitude que tu joins à tes autres vices, que non- « seulement tu n'es pas satisfait d'avoir eu la vie sauve,

4. F, Sturz et Bekk.; vulg. om. — 5. B, D, F et Bekk.; vulg. om.
6. F : πόλιν. Sur la conduite de Cicéron pendant la guerre civile, cf. Plut. 37 et suiv. — 7. A, B, F : συνήρει. — 8. B, F : αὐτοῦ.

αὐτοῦ [1], ἀλλὰ καὶ [2] ἀγαναχτεῖς, ὅτι μὴ καὶ [3] ἱππάρχησας.

13. « Εἶτα ταῦτα σαυτῷ συνειδὼς, τολμᾷς λέγειν, ὅτι οὐκ ἐχρῆν τὸν Ἀντώνιον δι' ἔτους ἱππαρχῆσαι [4]; οὐδὲ γὰρ τὸν Καίσαρα δι' ἔτους δικτατορεῦσαι [5]. Ἀλλ' εἴτε καλῶς, εἴτε καὶ ἀναγκαίως ταῦτ' ἐγένετο, ἐψηφίσθη τε ὁμοίως [6] ἀμφότερα, καὶ ἤρεσε καὶ ἡμῖν [7] καὶ τῷ δήμῳ. Τούτοις οὖν, ὦ Κικέρων, ἐγκαλεῖ, εἴ τι παρηνόμησαν, μὴ μὰ [8] Δία, μὴ τοῖς ὑπ' αὐτῶν τετιμημένοις, ὅτι ἀξίους ἑαυτοὺς καὶ τῶν τηλικούτων τυχεῖν παρέσχον [9]· ὡς εἴ γε [10] ὑπὸ τῶν πραγμάτων τῶν τότε ἡμᾶς περιστάντων ἠναγκάσθημεν [11] αὐτὰ οὕτω καὶ παρὰ τὸ προσῆκον ποιῆσαι, τί τοῦτο [12] Ἀντωνίῳ νῦν ἐπιφέρεις, ἀλλ' οὐ τότε ἀντέλεγες, εἴπερ ἐδύνατο; Ὅτι ἐφοβοῦ, μὰ Δία. Εἶτα, σὺ μὲν τότε σιωπήσας, συγγνώμης διὰ τὴν δειλίαν τεύξῃ, οὗτος δὲ ὅτι [13] σοῦ προετιμήθη, δίκην διὰ τὴν ἀρετὴν ὑφέξει; καὶ ποῦ ταῦτα τὰ δίκαια ἔμαθες; ἢ ποῦ ταῦτα τὰ νόμιμα ἀνέγνως;

14. « Ἀλλ' οὐκ ὀρθῶς τῇ ἱππαρχίᾳ ἐχρήσατο. Διὰ τί; ὅτι τὰ ὑπάρχοντα, φησὶ, τὰ τοῦ Πομπηΐου [14] ἠγόρασε. Πόσον δὲ ἄλλοι πόσα ἄλλα ἐπρίαντο, ὧν οὐδεὶς αἰτίαν

1. Xyl., suivi par H. Étienne, Leuncl. et les éd. subséq., confirmé par B, C, F, K; les autres mss. : ἀπ' αὐτοῦ. — 2. Leuncl. et les éd. subséq., ainsi que le plus grand nombre des mss.; seuls D, E, H om. : ἀλλὰ καί.
3. K : καὶ μή.
4. C : ὑπαρχῆσαι. — 5. C, D : δικτατορεῦσαι δι' ἔτους.
6. Reiske : δμως. — 7. F et Bekk.; vulg. : ὑμῖν.
8. H : μὴ καὶ μά.

« mais que, de plus, tu t'indignes de n'avoir pas été « nommé maître de la cavalerie. »

13. « Ensuite, tu oses dire, malgré ta conscience, « qu'Antoine ne devait pas rester pendant un an maître « de la cavalerie. Soit! César, non plus, ne devait pas « rester dictateur pendant un an. Par raison ou par vio- « lence, l'une et l'autre mesure ont été pareillement dé- « crétées, pareillement approuvées par nous et par le « peuple. Voilà, Cicéron, ceux qu'il te faut accuser, s'ils « ont transgressé les lois, et non, par Jupiter, ceux qui, « pour s'être montrés dignes d'obtenir de telles faveurs, « ont reçu d'eux ce privilége. Si les circonstances au « milieu desquelles nous étions alors nous ont forcés « d'agir ainsi, contrairement à notre devoir, pourquoi « l'imputer aujourd'hui à Antoine, au lieu d'y avoir alors « mis opposition, si tu le pouvais? C'est, par Jupiter, « que tu avais peur. Eh bien! à toi, on te pardonnera « de t'être tu par lâcheté, tandis que lui, parce qu'il « aura été préféré à toi à cause de son courage, il sera « puni? Où as-tu appris ces principes de justice? où « as-tu lu ces principes de législation?

14. « Mais il s'est mal conduit pendant qu'il était « maître de la cavalerie. Pourquoi? Parce que, dit Ci- « céron, il a acheté les biens de Pompée. Combien de « fois d'autres ont-ils acheté des biens à vendre, sans

9. A, B, C, D, I, K et Bekk.; vulg. : παρέσχον τυχεῖν. Dans G, les mots τυχεῖν παρέσχον.... πραγμάτων τῶν, sont en marge et d'une autre main.

10. H : εἴ γε καί. — 11. Bekk.; vulg. : ἠναγκάσθητε. « Aut ὑμᾶς, dit Reiske, aut proxima linea ἠναγκάσθημεν legendum. » — 12. F, G, K : τούτῳ.

13. C, D, F, H et Bekk.; vulg. et les autres mss. : ὅστις. Reim. blâme ὅτι, Sturz le défend, tout en conservant la vulgate. — 14. Cf. XLV, 28. K : χρήματα (en marge, d'une autre main : κτήματα) τὰ τοῦ Πομπηΐου.

ἔχει; Καὶ γάρ που [1] διὰ τοῦτο καὶ ἐδημεύθη [2] τινὰ, καὶ ἐς τὸ πρατήριον ἐξετέθη, καὶ τῇ τοῦ κοινοῦ κήρυκος φωνῇ ἀπεκηρύχθη, ἵνα τις αὐτὰ ἀγοράσῃ. Ἀλλ' οὐκ ἐχρῆν τὰ τοῦ Πομπηΐου κτήματα πεπράσθαι. Οὐκοῦν ἡμεῖς [3] ἡμάρτομεν, καὶ κακῶς ἐποιήσαμεν, δημεύσαντες αὐτά· ἢ, ἵνα σὲ καὶ ἡμᾶς [4] τις ἀπολύσῃ, πάντως που ὁ Καῖσαρ ἐπλημμέλησεν, ὁ τοῦτο γενέσθαι κελεύσας· ᾧ οὐδὲν ἐπεκάλεσας. Ἀλλ' ἐν μὲν τούτῳ καὶ πάνυ μωραίνων ἐξελέγχεται. Δύο γοῦν [5] ἐναντιώτατα τοῦ Ἀντωνίου κατηγόρηκεν· ἓν μέν, ὅτι πλεῖστα τῷ Καίσαρι [6] συμπράξας, καὶ πάμπολλα διὰ τοῦτο [7] παρ' αὐτοῦ λαβών, ἔπειτα τὴν τιμὴν αὐτῶν βιαίως ἀπῃτήθη [8]· ἕτερον δὲ, ὅτι μήτε τοῦ πατρὸς αὐτοῦ κληρονομήσας, καὶ πάνθ' ὅσα ἐκτήσατο [9] καταναλώσας, ὥσπερ ἡ Χάρυβδις [10] (ἀεὶ γάρ τι ἡμῖν ἐκ τῆς Σικελίας, καθάπερ ἐπιλελησμένοις ὅτι ἐς αὐτὴν ἔφυγε [11], παραφέρει), τὴν τιμὴν πάντων ὧν ἐπρίατο ἀπέδωκεν. R.p.459.

15. « Ἐν μὲν [12] οὖν τούτοις οὕτω τὰ ἐναντιώτατα αὐτὸς ἑαυτῷ λέγων ὁ θαυμαστὸς οὗτος ἐλέγχεται, καὶ νὴ Δία καὶ ἐν ἐκείνοις, ὅτι τοτὲ μὲν, πάντα αὐτὸν [13] τὰ τῷ Καίσαρι πραχθέντα συνάρασθαι [14], καὶ πάντων διὰ τοῦτο [15] τῶν ἐμφυλίων κακῶν αἰτιώτατον γεγονέναι λέγει· τοτὲ δὲ ἐγκα-

1. C : που καί. — 2. D : εὐδημεύθη. — 3. Reiske : « ἢ ἡμεῖς, ob sequens ἢ ; » cette addition n'est pas indispensable. — 4. H : ὑμᾶς. G. : ἵνα καί σε καὶ ἡμᾶς. — 5. G : γὰρ γοῦν. — 6. F : κατὰ τῷ Καίσαρι.

7. C om. : διὰ τοῦτο. — 8. Cf. XLII, 50.

9. H : ἐβούλετο. — 10. Cf. XLV, 28.

11. Cicéron, en quittant Rome pour se rendre à Athènes, alla d'abord en

« qu'aucun d'eux fût mis en cause ? S'il y a eu des biens « confisqués et vendus sous la haste et criés par la voix « du crieur public, c'était apparemment pour qu'il y « eût des acheteurs. Mais les biens de Pompée ne de- « vaient pas être vendus. C'est donc nous qui avons « commis une faute, nous qui avons mal fait en les con- « fisquant ; ou bien, afin de nous absoudre, et toi avec « nous, César a dépassé les bornes de son pouvoir quand « il a ordonné cette vente ; et pourtant tu n'as pour lui « aucun reproche. Là se montre bien toute la sottise de « cet homme. Il accuse Antoine de deux crimes oppo- « sés : après avoir aidé César dans la plupart de ses en- « treprises, et avoir, en récompense, beaucoup reçu de « lui, Antoine s'en est ensuite vu réclamer violemment « le prix ; après avoir refusé l'héritage de son père, et, « comme une Charybde (cet homme a toujours quelque « citation sentant la Sicile, pour ne pas nous laisser ou- « blier qu'il y est allé en exil), avoir dévoré tout ce qu'il « possédait, il a soldé le prix de toutes ses acquisi- « tions. »

15. « Mais ce n'est pas seulement là-dessus que cet « admirable orateur est convaincu de tenir un langage « contradictoire ; par Jupiter, en voici d'autres exemples « encore : tantôt, selon lui, Antoine a prêté en tout son « concours à César, et, par suite, est devenu la prin- « cipale cause des guerres civiles ; tantôt, d'après les

Sicile, évitant les chemins fréquentés pour échapper aux embûches, ainsi qu'il le raconte lui-même (Philipp., I, 3). Lors de son exil, il avait eu l'intention de passer dans cette île, mais le préteur C. Virgilius, au témoignage de Plutarque (22), lui écrivit d'avoir à s'en éloigner.

12. Bekk. : ἔν τε μέν. — 13. C, H om. — 14. B, F : συναίρασθαι.

15. C, D, H : τούτων.

λεῖ αὐτῷ, δειλίαν ὀνειδίζων, ὅτι μηδενὸς ἄλλου πλὴν τῶν ἐν τῇ Θετταλίᾳ[1] πραχθέντων μετέσχε. Καὶ ἐν[2] ἐγκλήματι αὐτοῦ[3] ποιεῖται, λέγων ὅτι τῶν φευγόντων τινὰς κατήγαγε· καὶ μέμφεται αὐτὸν, ὅτι μὴ καὶ τῷ θείῳ[4] τὴν κάθοδον ἔδωκεν, ὥσπερ τινὸς πιστεύοντος ὅτι οὐκ ἂν ἐκεῖνον πρῶτον, εἴπερ γε καὶ ὀντινοῦν ἐδυνήθη καταγαγεῖν, ἐπανήγαγε· μήτε τι ἐγκαλῶν αὐτῷ, μήτε ἐγκαλούμενος, ὡς καὶ αὐτὸς οὗτος οἶδεν; ἀμέλει πολλὰ καὶ[5] σχέτλια αὐτοῦ καταψευσάμενος, οὐδὲν τοιοῦτον εἰπεῖν ἐτόλμησεν. Οὕτω μὲν οὖν οὐδ' ὁτιοῦν αὐτῷ διαφέρει πᾶν ὅ τι ποτ' ἂν ἐπὶ τὴν γλῶτταν αὐτοῦ ἐπέλθῃ, καθάπερ τι πνεῦμα, ἐκχέαι. Ἀλλὰ ταῦτα μὲν τί ἄν τις ἐπὶ πλεῖον ἐπεξίοι;

16. « Ἐπεὶ δὲ τραγῳδεῖ περιϊὼν, καὶ νῦν γε εἶπέ που λέγων[6] ὅτι βαρυτάτην τὴν τῆς ἱππαρχίας ὄψιν παρέσχετο, πανταχοῦ καὶ διὰ[7] πάντων τῷ τε ξίφει ἅμα καὶ τῇ πορφύρᾳ[8] τοῖς τε ῥαβδούχοις καὶ τοῖς στρατιώταις χρώμενος) εἰπάτω μοι σαφῶς, καὶ τί ἐκ τούτων ἠδικήμεθα. Ἀλλ' οὐδὲν ἂν εἰπεῖν ἔχοι· εἰ γὰρ εἶχεν, οὐδὲν ἂν τούτου πρότερον ἐξελάλησε. Πᾶν γὰρ τοὐναντίον, οἱ μὲν στασιάσαντες τότε, καὶ πάντα τὰ κακὰ ἐργασάμενοι, Τρεβέλλιός τε καὶ Δολοβέλλας ἦσαν[9]· Ἀντώνιος δὲ καὶ οὕτως οὔτε τι ἠδίκησε, καὶ πάνθ' ὑπὲρ ἡμῶν[10] ἔπραττεν, ὥστε καὶ τὴν φυλακὴν

1. D, K : Θεσσαλίᾳ. — 2. G om. — 3. Bekk. : καὶ ἐγκλημά τε αὐτοῦ.
4. Cf. XLV, 47.
5. Bekk.; Reiske : ἀμέλει πολλὰ πολλάκις σχέτλια ; vulg. : ἀμέλει πολλάκις.
6. Sturz trouve cette expression εἶπέ που λέγων à peine grecque ; Reiske

« accusations où il lui reproche sa lâcheté, Antoine n'a « eu de part qu'aux affaires de Thessalie. Autre grief : « quelques exilés ont été ramenés, et Cicéron blâme An- « toine de n'avoir pas accordé à son oncle la permission « de rentrer, comme si quelqu'un croyait que cet oncle « n'eût pas été rappelé le premier, s'il eût été au pouvoir « d'Antoine de ramener personne, puisqu'il ne lui fait « aucun reproche et n'en reçoit aucun de lui, comme « Cicéron lui-même le sait bien; car, malgré tant d'hor- « ribles mensonges, il n'a osé alléguer aucun fait de « cette nature. Voilà combien peu cet homme se soucie « de lancer comme un vent tout ce qui lui vient à la « bouche. Mais à quoi bon m'étendre sur ce sujet? »

16. « Puisqu'il prend le ton tragique avec ses grands « mots, et que, maintenant encore, il prétend qu'An- « toine a fait de la charge de maître de la cavalerie un « spectacle affligeant en usant partout et en toutes cir- « constances à la fois du glaive et de la prétexte, ainsi « que des licteurs et des soldats, qu'il me dise donc « clairement quel dommage nous en avons reçu. Il n'en « aurait aucun à citer; car, s'il en avait eu, c'est par « là qu'il aurait commencé son bavardage. Au contraire, « les séditieux alors, ceux qui ont été les auteurs de tous « nos malheurs, ce furent Trébellius et Dolabella; An- « toine, bien loin de nous avoir, dans ces conjonctures, « causé le moindre dommage, a tout fait pour nous,

propose de lire : πάρεστι; la vulgate n'a rien de choquant, c'est la leçon des mss., je la conserve avec Bekker.

7. R. Étienne : παρέσχετο πανταχοῦ, καὶ διά. — 8. Cf. XLV, 28.

9. Cf. XLII, 28 et suiv. — 10. A, K : ὑμῶν.

τῆς πόλεως[1] παρ' ὑμῶν ἐπ' αὐτοὺς ἐκείνους, οὐχ ὅπως ἀντιλέγοντος[2] τοῦ θαυμαστοῦ τούτου ῥήτορος (παρῆν γὰρ), ἀλλὰ καὶ συναινοῦντος[3], ἐπετράπη. Ἢ δειξάτω, τίνα φωνὴν ἔῤῥηξεν[4], ὁρῶν τὸν ἀσελγῆ καὶ μιαρὸν, ὡς αὐτὸς λοιδορεῖ, πρὸς τῷ[5] μηδὲν αὐτὸν τῶν δεόντων ποιεῖν, καὶ ἐξουσίαν τοσαύτην παρ' ὑμῶν προσλαμβάνοντα. Ἀλλ' οὐκ ἂν ἔχοι δεῖξαι. Οὕτω που ὁ μέγας οὗτος καὶ φιλόπολις ῥήτωρ, ὁ πανταχοῦ καὶ ἀεὶ θρυλῶν καὶ λέγων· « Ἐγὼ μόνος[6] ὑπὲρ τῆς ἐλευθερίας ἀγωνίζομαι, ἐγὼ μόνος ὑπὲρ τῆς δημοκρατίας παῤῥησιάζομαι[7]· ἐμὲ οὔτε χάρις φίλων[8], οὔτε φόβος ἐχθρῶν ἀπείργει τοῦ[9] μὴ οὐ τὰ συμφέροντα ὑμῖν προσκοπεῖν· ἐγὼ, κἂν ἀποθανεῖν ἐν τοῖς ὑπὲρ ὑμῶν λόγοις
p. 460. δεήσῃ, καὶ μάλ' ἡδέως[10] τελευτήσω. » Οὐδ' ὁτιοῦν τούτων[11] ὧν νῦν βοᾷ, τότε εἰπεῖν ἐτόλμησε. Καὶ πάνυ[12] εἰκότως. Λογίζεσθαι γὰρ αὐτῷ ἐπῆει[13] τοῦτο, ὅτι τοὺς μὲν ῥαβδούχους καὶ τὸ ἔσθημα τὸ[14] περιπόρφυρον κατὰ τὰ πάτρια τὰ περὶ τῶν ἱππάρχων νενομισμένα εἶχε, τῷ δὲ δήμῳ καὶ τοῖς στρατιώταις κατὰ τῶν στασιαζόντων ἀναγκαίως ἐχρῆτο. Τί γὰρ οὐκ ἂν τῶν δεινοτάτων ἐποίησαν, εἰ μὴ τούτοις ἐκεῖνος ἐπέφρακτο, ὁπότε καὶ οὕτως αὐτοῦ κατεφρόνησαν τινές;

1. Cf. XLII, 29. Par la formule *videant consules*, le sénat conférait aux consuls un pouvoir à peu près discrétionnaire sur les citoyens et sur les alliés.

2. G : ἀντιλέγοντας. — 3. H : συναιροῦντος. — 4. D : ἐῤῥεξεν.

5. Correction de R. Etienne suivie par les éd. subséq., C, D, E, H : τό.

6. D, H : μόνον. — 7. Gron., d'après A, et Reim., avec B, C, G, I, K,

« en sorte que la défense de la ville contre ces mêmes « hommes lui fut confiée par vous, non-seulement sans « opposition de la part de cet admirable orateur (il était « présent), mais encore avec son consentement. Qu'il « nous montre quelle parole est sortie de sa bouche « quand il vit ce débauché, cet impur, ainsi qu'il l'ap- « pelle injurieusement, outre qu'il ne remplissait au- « cun de ses devoirs, se faire investir par vous d'une si « grande autorité. Il ne pourrait le dire. C'est ainsi que « ce grand orateur si bon citoyen, qui va disant et répé- « tant sans cesse partout: « Seul, je combats pour la li- « berté; seul, je parle librement dans l'intérêt de la Ré- « publique; ni les égards pour mes amis, ni la crainte de « me faire des ennemis, ne m'empêchent de prévoir ce « qui peut vous être nuisible; s'il me fallait mourir en « défendant vos intérêts par ma parole, j'aimerais à ter- « miner ainsi ma carrière. » Aucune de ces paroles « qu'il crie aujourd'hui bien haut, il n'a osé alors la pro- « noncer. Cela se comprend. Il réfléchissait que les lic- « teurs et la prétexte, Antoine les avait d'après les an- « ciens règlements relatifs aux maîtres de la cavalerie; « que, pour le glaive et les soldats, il lui fallait s'en « servir contre les séditieux. Quelles atrocités n'auraient- « ils pas, en effet, commises, si Antoine n'eût été armé de « ces moyens, puisque quelques-uns ont, malgré cela, si « peu respecté son pouvoir ? »

Sturz et Bekk.; vulg. et E, H om. : ἐγὼ.... παῤῥησιάζομαι. — 8. Dans G, χάρις φίλων est en marge et d'une autre main. — 9. Le Grammairien publié dans les *Anecdota* de Bekker, vol. I, p. 67 : τό. — 10. G : ὅτι οὖν τούτου. — 11. A, D, G, I et Bekk.; vulg. : μάλα ἡδέως. — 12. A, B, C, D, F, H, I, K et Bekk.; vulg. : μάλα.

13. B, F : ἐποίει. — 14. G om.

17. « Ὅτι τοίνυν καὶ ταῦτα καὶ τἄλλα πάντα ὀρθῶς καὶ κατὰ τὴν γνώμην ὅτι μάλιστα τὴν τοῦ Καίσαρος ἐγένετο, δηλοῖ τὰ ἔργα· ἥ τε γὰρ στάσις οὐ περαιτέρω προεχώρησε, καὶ ὁ Ἀντώνιος οὐχ ὅσον οὐ δίκην ἐπ' αὐτοῖς ἔδωκεν, ἀλλὰ καὶ ὕπατος μετὰ ταῦτα ἀπεδείχθη [1]. Καί μοι καὶ ταύτην αὐτοῦ τὴν ἀρχὴν θεάσασθε ὡς διέθετο. Εὑρήσετε γὰρ αὐτήν, ἂν τἀκριβὲς σκοπῆτε, πάνυ πολλοῦ ἀξίαν τῇ πόλει [2] γεγενημένην. Ὅπερ που καὶ αὐτὸς εἰδὼς, οὐκ ἤνεγκε τὸν φθόνον [3], ἀλλ' ἐτόλμησεν ἐπὶ τούτοις αὐτὸν διαβαλεῖν, ἃ καὶ αὐτὸς ἂν πεποιηκέναι εὔξατο [4]. Καὶ διὰ τοῦτό γε καὶ τὴν γύμνωσιν αὐτοῦ, τήν τε ἀλοιφὴν, τούς τε μύθους τοὺς παλαιοὺς ἐκείνους ἐπεσήγαγεν [5], οὐχ ὅτι τι προσέδει νῦν αὐτῶν [6], ἀλλ' ἵνα τήν τε ἐπιτέχνησιν [7] αὐτοῦ καὶ τὴν κατόρθωσιν τοῖς ἔξωθεν ψόφοις [8] συσκιάσῃ. Ὅστις [9], ὦ γῆ καὶ θεοὶ (μεῖζον γὰρ σοῦ βοήσομαι, καὶ δικαιότερον αὐτοὺς ἐπικαλέσομαι), τυραννουμένην ἤδη τῷ ἔργῳ τὴν πόλιν ἰδὼν τῷ πάντα μὲν τὰ στρατόπεδα ἀκούειν τοῦ Καίσαρος, πάντα δὲ αὐτῷ τὸν δῆμον μετὰ τῆς βουλῆς εἶκειν [10], οὕτως ὥστε τά τε ἄλλα καὶ δικτάτορα αὐτὸν διὰ βίου εἶναι [11], τῇ τε σκευῇ τῇ τῶν βασιλέων χρῆσθαι ψηφίσασθαι [12], καὶ ἐξῆλεγξε [13] σοφώτατα, καὶ ἐπέσχεν ἀσφαλέστατα· ὥστε καὶ αἰδεσθέντα καὶ φοβηθέντα μήτε τὸ

1. Cf. XLIII, 49. — 2. Bekk., d'après Xyl. qui traduit *urbi*, leçon que Reim. ne désapprouve pas; vulg. ἐν τῇ πολει. — 3. L'expression φέρειν φθόνον n'est pas ordinaire dans le sens de *contenir, réprimer sa jalousie;* aussi inspire-t-elle des doutes à Reiske, qui l'explique ici par une métaphore tirée du portefaix jetant bas un fardeau trop lourd.

4. B, C, D, F, G et Bekk.; vulg. et A, E, H, I, K : εὔξαιτο.

17. « L'opportunité de ces mesures et de toutes les « autres, leur parfait accord avec l'opinion de César, sont « démontrés par les faits : la sédition s'arrêta, et Antoine « non-seulement n'a pas été puni pour ces actes, mais « même il a été, à la suite, nommé consul. Examinez « avec moi quelle conduite il a tenue dans cette magis- « trature. Vous trouverez, si vous y faites une sérieuse « attention, que son consulat fut bien précieux pour cette « ville. Cicéron le savait bien lui-même, puisqu'au lieu « de contenir son envie, il a osé calomnier Antoine à « l'occasion de ce que lui-même il a voulu faire. S'il a « mis en avant la nudité d'Antoine, l'huile dont il était « frotté, et toutes ces vieilles histoires, ce n'est pas parce « que le besoin s'en fait aujourd'hui sentir, c'est pour obs- « curcir par les bruits du dehors l'habileté d'Antoine et « ses succès. C'est Antoine, ô Terre, ô dieux (car je crie- « rai plus haut que toi, et je les invoquerai pour des mo- « tifs plus justes), c'est Antoine qui, voyant notre ville « déjà en réalité tombée sous le joug d'un tyran, puisque « les légions obéissaient à César et que le peuple tout « entier, de concert avec le sénat, lui cédait au point de « décréter, entre autres priviléges, qu'il serait dictateur « pendant toute sa vie et qu'il serait entouré d'un appareil « royal, c'est Antoine, dis-je, qui l'a si bien deviné, si bien « arrêté dans ses projets, que César, saisi de honte et

5. Cf. XLIV, 11, et XLV, 30 et suiv. — 6. Leuncl., approuvé par Reim., ainsi que A, C, I, K ; vulg. et B, D, E, F, H : αὐτῷ. — 7. Bekk. : περιτέχνησιν, comme à la fin du ch. 19. — 8. Reim. défend cette leçon contre Xyl., qui veut lire φόγοις, et contre Leuncl. qui propose ζόφοις.

9. B, F, G : ἅστις. — 10. F : ἥκειν. — 11. Cf. XLIV, 8.

12. Cf. XLIV, 4. — 13 H : ἐξήλεγξαι.

ὄνομα τὸ τοῦ βασιλέως, μήτε τὸ διάδημα [1] (ἃ καὶ ἀκόντων ἡμῶν αὐτὸς ἑαυτῷ δώσειν ἔμελλε) λαβεῖν. Ἄλλος μὲν γὰρ
R. p. 461. ἄν [2] τις ὑπό τε ἐκείνου ταῦτ' ἔφη ποιῆσαι κεκελεῦσθαι [3], καὶ τήν τε ἀνάγκην ἂν προὐτείνατο, καὶ συγγνώμης ἐπ' αὐτῇ [4] ἔτυχε [5], πῶς γὰρ οὔ; τοιαῦτά τε ἡμῶν τότε ἐψηφισμένων [6], καὶ τοσοῦτο τῶν στρατιωτῶν δεδυνημένων. Ἀντώνιος δὲ, ἅτε καὶ τῆς διανοίας τῆς τοῦ Καίσαρος διαπεφοιτηκὼς [7], καὶ πάντα ἀκριβῶς ὅσα παρεσκευάζετο συννοῶν, φρονιμώτατα αὐτὸν καὶ ἀπέτρεψεν ἀπ' αὐτῶν, καὶ ἀπέσπευσε. Τεκμήριον δὲ, ὅτι οὐδὲν ἔτι τὸ παράπαν ὡς καὶ δυναστεύων ἔπραξε, καὶ προσέτι καὶ κοινῶς καὶ ἀφυλάκτως πᾶσιν ἡμῖν συνῆν· ἀφ' οὗπερ καὶ τὰ μάλιστα ἠδυνήθη παθεῖν ἃ ἔπαθε.

18. « Ταῦθ' οὕτως, ὦ Κικέρων, ἢ Κικέρουλε, ἢ Κικεράκιε, ἢ Κικέριθε [8], ἢ Γραίκουλε [9], ἤ ὅ τι ποτὲ καὶ χαίρεις ὀνομαζόμενος, ἔπραξεν ὁ ἀπαίδευτος, ὁ γυμνὸς, ὁ μεμυρισμένος [10]· ὧν οὐδὲν σὺ ἐποίησας, ὁ δεινὸς, ὁ σοφὸς, ὁ πολὺ πλείονι τῷ ἐλαίῳ τοῦ οἴνου χρώμενος [11]· ὁ καὶ μέχρι τῶν σφυρῶν τὴν ἐσθῆτα σύρων, οὐ μὰ Δί' [12], οὐχ ὥσπερ οἱ ὀρχησταὶ, οἱ τὰς ποικιλίας [13] τῶν ἐνθυμημάτων διδάσκον-

1. Cf. XLIV, 11. — 2. Reiske, approuvé par Sturz, et Bekk.; vulg. om.
3. G : κεκελεῦσαι.
4. B, F : αὐτῷ; C : αὐτήν. — 5. Sturz voudrait lire ἂν ἔτυχε.
6. F : τότ' ἐψηφισμένων. — 7. Bekk. : διαπεφυκώς.
8. Jeux sur le nom de Cicéron, dérivé de *cicer*, pois chiche. Les Romains ayant été pendant longtemps peuple agricole, en même temps que guerrier, leurs surnoms (Cicéron était le surnom et Tullius le nom, cf. Dezobry, Rome au siècle d'Auguste, Lettre CV) étaient primitivement

« de crainte, ne prit ni le titre de roi ni le diadème que « son intention était de se donner lui-même malgré nous. « Si un autre prétendait avoir reçu de César l'ordre « d'agir ainsi, et qu'il se retranchât derrière la nécessité, « il obtiendrait, n'est-il pas vrai? son pardon, attendu les « décrets alors rendus par nous et la toute-puissance des « soldats. Eh bien donc! Antoine, qui avait pénétré « au fond de la pensée de César et qui avait une connais- « sance exacte de tous les desseins qu'il méditait, l'en a « prudemment détourné par ses conseils. La preuve, « c'est que César ne fit plus absolument rien en vue de « la domination, et que, de plus, il vécut au milieu de « nous tous comme un citoyen ordinaire et sans garde. « cause principale pour laquelle il a pu subir le sort qu'il « a subi. »

18. « Les voilà, Cicéron, Cicéracien, Cicérithe, mé- « chant petit Grec, ou quel que soit enfin le nom que tu « préfères, les choses qu'a faites cet homme ignorant, « cet homme nu, cet homme parfumé, toutes choses « dont tu n'as fait aucune, toi, l'homme habile, l'homme « sage, l'homme consommant plus d'huile que de vin, « l'homme traînant sa toge jusque sur les talons, non « pas, par Jupiter, pour imiter les histrions qui, par « leurs gestes, enseignent la variété des mouvements

empruntés à l'agriculture. Au lieu de Κικεράκιε, Leuncl., que semblent ne désapprouver ni Reim. ni Sturz, veut lire Κικερόκιε, comme on dit en italien *Ciceroccio;* Reiske conjecture : Κικέρριθε, *cerritus*, et Bekk. : Κικερίχε, au lieu de Κικέριθε. — 9. Terme de mépris adressé à un citoyen romain. — 10. C : μεμηκσμένος (*sic*). — 11. Allusion aux veilles de l'orateur; un reproche de ce genre avait été adressé autrefois aussi à Démosthène. — 12. A : Δία; dans G, les mots : οὐ μὰ Δία sont en marge et d'une autre main. — 13. D : ποικίλας.

τές σε τοῖς σχήμασιν, ἀλλ' ἵνα τὰ αἴσχη σου τῶν σκελῶν συγκρύπτῃς [1]. Οὐ γάρ που καὶ ὑπὸ [2] σωφροσύνης τοῦτο [3] ποιεῖς, ὁ τὰ πολλὰ ἐκεῖνα περὶ τῆς τοῦ Ἀντωνίου διαίτης εἰρηκώς. Τίς μὲν γὰρ οὐχ ὁρᾷ σου τὰ λεπτὰ [4] ταῦτα χλανίδια; Τίς δ' οὐκ ὀσφραίνεται [5] τῶν πολιῶν σου τῶν κατεκτενισμένων; Τίς δ' οὐκ οἶδεν ὅτι τὴν μὲν γυναῖκα τὴν προτέραν [6], τὴν τεκοῦσάν σοι δύο τέκνα [7], ἐξέβαλες, ἑτέραν δὲ ἐπεισηγάγου παρθένον [8], ὑπέργηρως ὢν [9], ἵν' ἐκ τῆς οὐσίας αὐτῆς τὰ δανείσματα ἀποτίσῃς [10]; καὶ οὐδ' ἐκείνην [11] μέντοι κατέσχες [12], ἵνα Κερελλίαν [13] ἐπ' ἀδείας ἔχῃς, ἣν τοσούτῳ πρεσβυτέραν σαυτοῦ οὖσαν ἐμοίχευσας, ὅσῳ νεωτέραν τὴν κόρην ἔγημας· πρὸς ἣν καὶ αὐτὴν τοιαύτας ἐπιστολὰς γράφεις [14], οἵας ἂν γράψειν ἀνὴρ σκωπτόλης [15], ἀθυρόγλωσσος, πρὸς γυναῖκα ἑβδομηκοντοῦτιν πληκτιζόμενος. Καὶ ταῦτα μὲν ἄλλως ἐξήχθην, ὦ Πατέρες, εἰπεῖν,
R. p. 862. ἵνα μηδὲ ἐν τούτοις ἔλαττόν τι ἔχων ἀπέλθῃ· Καίτοι καὶ συμπόσιόν [16] τι ἐτόλμησε τῷ Ἀντωνίῳ προενεγκεῖν [17], αὐτὸς

1. Mot de Vatinius à Cicéron dans Macrobe, Saturn., II, 3. Cicéron se vantait d'avoir rapporté de l'exil la république sur ses épaules : « D'où viennent donc tes varices? » lui repartit Vatinius. Sidoine Apollinaire (Lett. V, 4) appelle Cicéron *l'homme aux varices d'Arpinum*.

2. H om. — 3. C, D, H om. — 4. B : οὐχ ὁρᾷς οὐ τὰ λεπτά; F : οὐχ ὁρᾷς τὰ λεπτά. — 5. F : ὀσφρεται. — 6. Térentia. Cf. Plut., 41.

7. Tullia, morte en couches à l'âge de vingt-huit ans; et M. Tullius Cicéron, nommé consul par Octave l'année même de la bataille d'Actium.

8. Publilia, dont il était le tuteur. — 9. Il avait soixante-deux ans.

10. Cf. Plut., 41. — 11. A, C, D, F, I : οὐδὲ ἐκείνην. — 12. Au rapport de Plutarque, 41, Cicéron répudia Publilia, parce qu'elle semblait se réjouir de la mort de Tullia, dont la perte causait à l'orateur un profond chagrin.

13. B, C, E, K, confirment cette correction de R. Étienne, adoptée par les éd. subséq.; A, D, E, H, I : Κερειαλίαν; F : Κραλίαν; dans G, il y a un λ

« de l'âme, mais pour cacher la laideur de tes jambes.
« Car ce n'est pas par pudeur que tu le fais, toi qui
« parles tant de la vie d'Antoine. Qui ne voit, en effet,
« ces fins manteaux que tu portes? Qui ne sent l'odeur
« de tes cheveux blancs peignés avec tant de soin? Qui
« ne sait que ta première femme, celle qui t'avait donné
« deux enfants, tu l'as répudiée, et que tu en a pris une
« autre à la fleur de l'âge, bien que tu fusses décrépit,
« afin d'avoir sa fortune pour payer tes dettes? Celle-là
« même, tu ne l'as pas gardée, afin de posséder sans
« crainte Cérellia, avec laquelle tu as commis l'adultère,
« bien qu'elle te surpasse en âge autant que te surpas-
« sait en jeunesse la vierge que tu avais épousée, cette
« femme à qui tu écris des lettres telles que pourrait les
« écrire un bouffon, un bavard effréné, luttant de pro-
« pos lascifs avec une femme septuagénaire. Je me suis
« laissé aller, Pères Conscrits, à raconter ces faits en
« passant, pour que, même en cela, il ne se retire pas
« avec moins qu'il n'a donné. Il a osé reprocher à An-
« toine un banquet, lui qui, à ce qu'il dit, ne boit que

tracé sur le ρ de Κερεαλίαν. C'est encore là une calomnie. Cérellia avait le goût des lettres et de la philosophie; Cicéron aima son entretien et ses écrits; mais on remarque aisément, dit Middleton, par quelques traits de ses lettres à Atticus, qu'il avait peu d'affection pour elle et qu'elle n'exerçait aucune sorte d'ascendant sur lui. — 14. « Cicéron laisse percer le badinage dans ses lettres à Cérellia, » dit Ausone dans le Centon nuptial, attribuant ainsi à Cicéron des lettres qui sont d'Apulée et adressées à une Cérellia bien différente. — 15. Vulg. et C, E, H : σκοπώλης. — 16. C'est le nom que donne ici Calénus à ce que Cicéron appelle (XLV, 26) κώμους et μέθας. « Ita, dit Reimarus, Plutarchus de Dignoscendo adulatore, ait nomina rerum amissa Romæ, ut Antonii τρυφαὶ, ἀκολασίαι, πανηγυρισμοὶ, fuerint ἱλαρὰ πράγματα καὶ φιλάνθρωπα, χρωμένης ἀφθόνως αὐτῷ δυνάμεως καὶ τύχης. — 17. Correction de Reiske, confirmée par B, H, et adoptée par Sturz et Bekk.; vulg. et Reim. avec les autres mss. : προσενεγκεῖν.

μὲν ὕδωρ, ὡς φησι, πίνων, ἵνα τοὺς καθ' ἡμῶν λόγους νυκτερεύων συγγράφῃ· τὸν δὲ υἱὸν ἐν τοσαύτῃ μέθῃ [1] τρέφων, ὥστε μήτε νύκτωρ μήτε μεθ' ἡμέραν σωφρονεῖν. Καὶ προσέτι καὶ τὸ στόμα αὐτοῦ διαβάλλειν ἐπεχείρησε, τοσαύτῃ ἀσελγείᾳ καὶ ἀκαθαρσίᾳ παρὰ πάντα τὸν βίον χρώμενος, ὥστε μηδὲ τῶν συγγενεστάτων ἀπέχεσθαι, ἀλλὰ τήν τε γυναῖκα προαγωγεύειν [2], καὶ τὴν θυγατέρα μοιχεύειν.

19. « Ταῦτα μὲν οὖν ἐάσω, ἐπάνειμι δὲ ὅθεν ἐξέβην. Ὁ γὰρ Ἀντώνιος ἐκεῖνος, ὃν οὗτος καταδεδράμηκεν, ἰδὼν τὸν Καίσαρα ὑπὲρ τὴν πολιτείαν ἡμῶν αἰρόμενον, ἐποίησεν αὐτὸν μηδὲν ὧν ἐνενόει πρᾶξαι [3], δι' αὐτῶν ὧν χαρίζεσθαι αὐτῷ ἐδόκει. Οὐδὲν γὰρ οὕτως ἀποτρέπει τινὰς ὧν ἂν μὴ ὀρθῶς ἐπιθυμοῦντες τυχεῖν διαπράσσωνται [4], ὡς τὸ τοὺς φοβουμένους αὐτὰ μὴ πάθωσιν ἐθελοντὰς δὴ δοκεῖν ὑπομένειν. Τοῦτο [5] μὲν γὰρ, ἐξ ὧν ἀδικοῦσιν ἑαυτοῖς [6] συνίσασιν [7], οὐ πιστεύουσι· πεφωρᾶσθαι δὲ νομίζοντες, καὶ αἰσχύνονται καὶ φοβοῦνται, τὰ μὲν λεγόμενα ἄλλως, ὡς καὶ κολακείαν, μετ' ἐλέγχου λαμβάνοντες, τὰ δ' ἐξ αὐτῶν ἀποβησόμενα, ὡς καὶ ἐπιβουλὴν, μετ' αἰσχύνης ὑποπτεύοντες. Ἅπερ που καὶ ὁ Ἀντώνιος ἀκριβῶς εἰδὼς [8], πρῶτον μὲν τά τε Λυκαῖα καὶ τὴν πομπὴν ἐκείνην ἐπελέξατο [9],

1. La passion de son fils pour le vin était telle qu'elle lui valut le surnom de *bicongius*, qui boit deux conges (six litres, 504). Cf. Pline, XIV, dernier chapitre, et Sénèque, Suasoria, VII.

2. A : προσαγωγεύειν. — 3. Explication adroite et ingénieuse, mais invraisemblable, du fait reproché par Cicéron (XLV, 31 et 32) à Antoine.

4. F : διαπράσσονται.

« de l'eau, afin de passer la nuit à écrire des discours « contre nous ; lui qui élève son fils dans une ivresse « telle que ni la nuit ni le jour il n'a sa raison. Il a es- « sayé également de calomnier la bouche d'Antoine, lui « qui, dans toute sa vie, se montre libertin et impur au « point de ne pas même respecter ceux qui lui touchent « de plus près, de prostituer sa femme et de souiller sa « fille. »

19. « Mais passons ; je reviens au point d'où je suis « parti. Cet Antoine, qu'on attaque avec tant d'achar- « nement, voyant César s'élever au-dessus de la répu- « blique, l'a, par des moyens même qu'on soupçonne « de flatterie, empêché d'accomplir aucun des projets « qu'il méditait. Il y a des gens, en effet, que rien ne « détourne tant de l'exécution de desseins mauvais que « l'apparente résignation de ceux qui craignent d'avoir « à les subir. La conscience de leur injustice les empêche « d'y ajouter foi, et la pensée qu'ils sont découverts les « couvre de honte et les remplit d'inquiétude, en leur « faisant prendre comme une flatterie qu'ils réprimen- « dent, des paroles dites dans un autre sens, et soup- « çonner dans ce qui en serait la conséquence un piége « dont ils rougissent. C'est parce qu'il avait une par- « faite connaissance de ces dispositions qu'Antoine a « choisi les Lupercales et la procession qui les accom-

5. Τοῦτο, c'est-à-dire, τὸ ἐθέλοντας ὑπομένειν ἃ φοβοῦνται. Reiske Cf. tome VII de l'édition de Sturz, une autre explication bien différente, mais aussi bien moins simple, donnée par ce même savant.

6. Correction de R. Étienne, adoptée par les éd. subséq.; elle est confirmée par A, C, F, G. 1; vulg. et B, D, E, H, K : ἑαυτούς. — 7. C : συνίασιν ; H : συνιᾶσιν. — 8. B om. — 9. Reiske, Sturz et Bekk.; vulg. et les mss. om.

ἵν' ὁ Καῖσαρ ἔν τε τῷ ἀνειμένῳ τῆς γνώμης, καὶ ἐν τῷ παιγνιώδει τῶν γιγνομένων, ἀσφαλῶς σωφρονισθῇ· ἔπειτα δὲ καὶ τὴν ἀγορὰν, καὶ [1] τὸ βῆμα, ἵνα ἐξ αὐτῶν τῶν χωρίων αἰσχυνθῇ· τάς τε ἐντολὰς τὰς παρὰ τοῦ δήμου συνέπλασεν, ἵν' αὐτὰς [2] λογίσηται ἀκούσας [3], οὐχ ὅσα τότε ὁ [4] Ἀντώνιος ἔλεγεν, ἀλλ' ὅσα ἂν ὁ δῆμος ὁ Ῥωμαίων εἰπεῖν τινὶ ἐνετείλατο [5]. Πόθεν γὰρ ἂν ἐπίστευσε τὸν δῆμον ταῦτ' ἐπεσταλκέναι, μήτε [6] ἐψηφισμένον τι τοιοῦτον αὐτὸν εἰδὼς, μήτε ἐπιβοῶντα αἰσθόμενος; Ἀλλ' ἔδει γὰρ αὐτὸν καὶ ἐν τῇ ἀγορᾷ τῇ Ῥωμαίᾳ, ἐν ᾗ πολλὰ πολλάκις ὑπὲρ τῆς ἐλευθερίας ἐβουλευσάμεθα· καὶ παρὰ τῷ βήματι, ἀφ' οὗ μυρία ἐπὶ μυρίοις ὑπὲρ τῆς δημοκρατίας ἐπολιτευσάμεθα· ἔν τε τῇ ἑορτῇ τῶν Λυκαίων, ἵν' ἀναμνησθῇ [7] τοῦ Ῥωμύλου [8]· καὶ ὑπὸ τοῦ ὑπάτου, ἵν' ἐννοήσῃ [9] τὰ τῶν ἀρχαίων ὑπάτων ἔργα· καὶ ἐπὶ τῷ τοῦ δήμου ὀνόματι ταῦτα ἀκοῦσαι, ἵν' ἐνθυμηθῇ τοῦθ', ὅτι οὐκ Ἄφρων, οὐδὲ Γαλατῶν, οὐδὲ Αἰγυπτίων [10], ἀλλ' αὐτῶν Ῥωμαίων τυραννεῖν ἐπεχείρει.

R. p. 463. Ταῦτα αὐτὸν τὰ ῥήματα ἐπέστρεψε [11], ταῦτ' ἐταπείνωσε· καὶ τάχ' ἂν [12] τὸ διάδημα, εἴπερ τις ἄλλος αὐτῷ προσήνεγκε, λαβὼν, ἔπειτα δι' ἐκεῖνα καὶ ἐκολούσθη, καὶ ἔφριξε [13] καὶ κατέδεισε. Τὰ [14] μὲν οὖν Ἀντωνίου ἔργα σοι ταῦτά ἐστιν, οὐ σκέλος ἄλλως κατάξαντος [15], ἵν' αὐτὸς [16] φύγῃ,

1. G om. — 2. C : ἵνα αὐτάς. — 3. B, C, D, G, K : ἀκούσας λογίσηται.
4. F, G et Bekk.; vulg. om. — 5. G om. : ἀλλ' ὅσα.... ἐντείλατο.
6. A, B, G : τῷ μήτε. — 7. Bekk.; vulg. : ἵνα ἀναμνησθῇ.
8. Romulus et son frère Rémus passent pour avoir été les instituteurs des Lupercales. Cf. Val. Maxime, II, 2, 9. — 9. B, F et Bekk.; vulg. et les autres mss. : ἵνα ἐννοήσῃ.

« pagne, afin que César, dans l'abandon de la pensée et « dans les divertissements de la fête, reçût, sans danger « pour lui, une leçon de modération : le Forum et les « Rostres, afin que les lieux seuls le fissent rougir : il a « feint un ordre du peuple, pour que, en l'entendant, « César songeât, non pas aux paroles prononcées par « Antoine, mais au langage que le peuple romain aurait « pu ordonner de lui tenir. Comment, en effet, César au- « rait-il cru à un ordre du peuple, quand il savait qu'il « n'y avait eu aucun décret rendu à ce sujet, quand il « s'apercevait qu'on lui refusait les acclamations ? Oui, « il fallait que ce fût dans le Forum Romain, où souvent « nous avons rendu des décisions en faveur de la liberté; « au pied des Rostres, où nous avons mille et mille fois « montré notre amour pour le gouvernement populaire; « que ce fût pendant la fête des Lupercales, afin de lui « rappeler le souvenir de Romulus; que ce fût par un « consul, pour qu'il songeât aux actions des anciens con- « suls; que ce fût au nom du peuple qu'il entendît ces « paroles, pour réfléchir que c'était, non pas des Afri- « cains, ni des Gaulois, mais des Romains eux-mêmes, « qu'il cherchait à se faire le tyran. Ces paroles l'ont dé- « tourné de ses desseins; elles l'ont abaissé; prêt peut- « être, si un autre le lui eût présenté, à accepter le dia- « dème, il en fut empêché par cette démonstration, il « frissonna, il eut peur. Voilà les actes d'Antoine : il n'a « pas eu besoin de se briser une jambe par hasard, pour

10. Allusion aux guerres de César : guerre d'Afrique, guerre des Gaules, guerre d'Alexandrie.

11. C, D, H : ἐπέτρεψε.

12. F et Bekk.; vulg. : τάχα ἄν.

13. C : ἔφρυξε. — 14. C : ταῦτα. — 15. F : καθέξαντος.

16. Bekk.; vulg. : ἵνα αὐτός.

οὐδὲ χεῖρα κατακαύσαντος, ἵνα Πορσέναν [1] φοβήσῃ· ἀλλὰ τὴν τυραννίδα τὴν τοῦ Καίσαρος σοφίᾳ καὶ περιτεχνήσει, καὶ ὑπὲρ τὸ δόρυ τὸ Δεκίου, καὶ ὑπὲρ τὸ ξίφος τὸ [2] Βρούτου, παύσαντος.

20. « Σὺ δ', ὦ [3] Κικέρων, τί ἐν τῇ ὑπατείᾳ σου οὐχ ὅτι σοφὸν, ἢ ἀγαθὸν, ἀλλ' οὐ καὶ τιμωρίας τῆς μεγίστης ἄξιον ἔπραξας; Οὐχ ἡσυχάζουσαν μὲν καὶ ὁμονοοῦσαν τὴν πόλιν ἡμῖν [4] καὶ ἐτάραξας [5] καὶ ἐστασίασας, τὴν ἀγορὰν καὶ τὸ Καπιτώλιον ἄλλων τέ τινων, καὶ δούλων παρακλήτων [6] πληρώσας [7]; Οὐ τὸν Κατιλίναν, σπουδαρχήσαντα μόνον, ἄλλο δὲ μηδὲν δεινὸν ποιήσαντα, κακῶς ἀπώλεσας; οὐ τὸν Λεντοῦλον [8], καὶ τοὺς [9] μετ' αὐτοῦ, μήτ' ἀδικήσαντάς τι, μήτε κριθέντας, μήτε ἐλεγχθέντας, οἰκτρῶς διέφθειρας, καίτοι πολλὰ μὲν περὶ τῶν νόμων, πολλὰ δὲ καὶ περὶ [10] τῶν δικαστηρίων ἀεὶ καὶ πανταχοῦ θρυλλῶν; ἃ εἴ τις ἀφέλοιτο τῶν σῶν λόγων, τὸ λοιπὸν οὐδέν ἐστι. Πομπηΐῳ μὲν γὰρ ἐνεκάλεις ὅτι τῷ Μίλωνι [11] παρὰ τὰ νενομισμένα τὴν κρίσιν ἐποίησε· σὺ δὲ οὔτε μικρὸν οὔτε μεῖζον οὐδὲν ἐκ τῶν περὶ ταῦτα τεταγμένων Λεντούλῳ παρέσχες, ἀλλ' ἄνευ [12] λόγου καὶ κρίσεως ἐνέβαλες ἐς τὸ δεσμωτήριον ἄνδρα ἐπιεικῆ, γέροντα, πολλὰ μὲν καὶ μεγάλα πρὸς τὴν

1. F : Πορσένα. Calénus fait ici allusion aux grands citoyens dont Cicéron (LXV, 32) a opposé l'exemple à la conduite d'Antoine.

2. D, E, H : τοῦ. — 3. C : Σὺ δὲ ὦ.

4. B, F, G, K : ἡμῶν. — 5. B, F : ἐξετάραξας.

6. H : παραλλήλων. Cicéron (Philipp., II, 7) répond à Antoine, qui l'accusait, comme ici Calénus, d'avoir rempli d'esclaves armés le clivus Capitolin.

« fuir ensuite, ni de se brûler la main, pour effrayer « Porsenna ; il a su, par une sagesse et une habileté « supérieures et à la lance de Décius et au glaive de « Brutus, mettre un terme à la tyrannie de César. »

20. « Mais toi, Cicéron, qu'as-tu fait dans ton con- « sulat, je ne dis pas de sage ou de bon, mais même qui « ne soit digne du dernier supplice ? Notre ville jouissait « du calme et de la concorde, n'y as-tu pas jeté le trou- « ble et la sédition, en remplissant le Forum et le Capi- « tole d'esclaves, entre autres gens appelés à ton aide ? « Catilina, dont le seul crime était de briguer le con- « sulat, ne l'as-tu pas fait périr misérablement ? Len- « tulus et ses compagnons, ne les as-tu pas, sans qu'ils « fussent coupables, sans qu'ils aient été jugés, sans « qu'ils aient été convaincus, livrés à une mort cruelle, « malgré ces nombreuses tirades et sur les lois et sur les « tribunaux partout et toujours par toi ressassées dans « tes discours, qui, sans elles, se réduiraient à rien. Tu « as accusé Pompée d'avoir, dans le jugement de Mi- « lon, violé les prescriptions de la loi, quand, toi, tu « n'as accordé à Lentulus aucune des garanties, ni pe- « tites, ni grandes, établies en pareil cas, quand tu as, « sans explications, sans jugement, jeté en prison un

7. C om. : τὴν ἀγορὰν .... πληρώσας. — 8. Cf. XXXVII, 34 et 36.

9. D : τῆς. — 10. Dans G, τας (dernière syllabe de ἐλεγχθέντας) οἰκτρῶς .... καὶ περὶ est en marge d'une autre main.

11. F : Μήλωνι ; D : Μέλωνι. Pompée, pour mettre les juges à l'abri des violences des partisans de Clodius, avait occupé militairement le Forum et les temples qui l'entouraient. Cf. le commencement de la Milonienne.

12. C, D : ἀλλὰ ἄνευ.

πατρίδα ἐκ προγόνων ἐνέχυρα φιλίας ἔχοντα, μηδὲν δὲ μήθ' ὑπὸ τῆς ἡλικίας, μήθ' ὑπὸ τῶν τρόπων νεωτερίσαι δυνάμενον. Τί μὲν γὰρ αὐτῷ κακὸν παρῆν, ὃ τῇ μεταβολῇ[1] ἂν τῶν πραγμάτων ἐξιάσαιτο[2]; τί δ' οὐκ ἀγαθὸν εἶχε, περὶ οὗ[3] πάντως[4] ἂν νεοχμώσας[5] τι ἐκινδύνευσε; Ποῖα ὅπλα ἠθροίκει; ποίους συμμάχους παρεσκευάσατο[6], ἵν' οὕτως οἰκτρῶς καὶ ἀνοσίως, ἀνὴρ ὑπατευκὼς, στρατηγῶν, μήτε τι[7] εἰπὼν, μήτ' ἀκούσας[8] ἔς τε τὸ οἴκημα ἐμπέσῃ[9], καὶ ἐκεῖ ὥσπερ οἱ κακουργότατοι φθαρῇ[10]; Τοῦτο γάρ ἐστιν, ὃ[11] μάλιστα ὁ καλὸς οὗτος Τούλλιος ἐπεθύμησεν, ἵν' ἐν τῷ ὁμωνύμῳ[12] αὐτοῦ χωρίῳ τῷ Τουλλιείῳ[13] τὸν ἔγγονον τοῦ Λεντούλου ἐκείνου, τοῦ προκρίτου ποτὲ τῆς βουλῆς γενομένου ἀποκτείνῃ.

R. p. 964. 21. « Καίτοι τί ποτ' ἂν ἐποίησεν ἐνοπλίου ἐξουσίας λαβόμενος, ὁ τοιαῦτα καὶ τοσαῦτα ἐκ μόνων τῶν λόγων εἰργασμένος; Ταῦτα γὰρ σοῦ τὰ λαμπρὰ ἔργα ἐστὶ, ταῦτα τὰ μεγάλα στρατηγήματα· ἐφ' οἷς οὕτως οὐχ ὅπως ὑπὸ τῶν ἄλλων κατεγνώσθης, ἀλλὰ καὶ αὐτὸς ἑαυτοῦ κατεψηφίσω, ὥστε καὶ πρὶν κριθῆναι[14] φυγεῖν. Καίτοι τίς ἂν ἑτέρα μείζων ἀπόδειξις τῆς σῆς μιαιφονίας γένοιτο, ἢ ὅτι καὶ ἐκινδύνευσας ἀπολέσθαι ὑπ' αὐτῶν ἐκείνων, ὑπὲρ ὧν ἐσκή-

1. H : καταβολῇ. — 2. Reim. (*Addenda*), Sturz et Bekk ; vulg. : ἐξιάσατο.

3. Reiske et Sturz : περὶ οὗ οὐ. Avec les mss. et Bekk., je conserve la vulg. en faisant retomber οὐκ sur εἶχε, au lieu de le faire retomber sur ἀγαθόν. — 4. D : πάντος ; H : πάντα.

5. G : νενοχμήσας. — 6. Bekk.; vulg. : παρεσκευάσατο.

« homme vertueux, un vieillard, qui, du chef de ses « ancêtres, comptait des gages nombreux de son amour « pour la patrie, qui, par son âge, par ses mœurs, n'é- « tait pas capable de faire une révolution. Quel mal y « avait-il qu'une révolution pût guérir pour lui? quel « bien qu'il n'eût pas été exposé à y perdre? Quelles « armes avait-il rassemblées, quels alliés s'était-il pré- « parés, pour être, lui personnage consulaire, lui revêtu « de la préture, sans avoir rien dit, sans avoir rien en- « tendu, si cruellement précipité au fond d'une prison « et y périr comme les plus vils scélérats? Cet illustre « Tullius n'avait pas de plus ardent désir que de faire « mettre à mort, dans le cachot appelé comme lui le « Tullianum, le descendant de ce Lentulus qui fut autre- « fois prince du sénat. »

21. « Qu'eût donc fait, s'il eût eu la puissance mi- « litaire, celui qui a, rien que par ses discours, accompli « de si grandes choses? Car ce sont là tes actions d'éclat, « tes exploits guerriers; c'est là ce qui t'a fait, je ne dis « pas seulement condamner par les autres, mais porter « toi-même le décret contre toi, puisque, avant d'a- « voir été condamné, tu as pris la fuite. Et quelle « autre démonstration plus évidente de ta cruauté, que « d'avoir failli périr par le fait de ceux-là même en « faveur desquels tu prétendais agir ainsi? que d'avoir

7. H : μήτ' ἔτι; G : μήτε ἔτι. — 8. D, H : μηδὲ (G : μὴ δὲ) ἀκούσας.
9. F : ἐμπέσει. — 10. F : φθάρει. — 11. Reiske et Sturz : οὐ.
12. G : ὁμώνυμον. —13. Mauvais jeu sur le nom de Tullius comme plus haut, ch. 18, sur le surnom de Cicéron. Le Tullianum, d'ailleurs, était un cachot ainsi nommé du roi Servius Tullius qui l'établit. Cf. Dezobry, Rome au siècle d'Auguste, Lettre XL, tome II. — 14. A, D, H, I : πρὶν καὶ κριθῆναι.

πτου ταῦτα πεποιηκέναι; καὶ ἐφοβήθης αὐτοὺς ἐκείνους, οὓς ἔλεγες ἐκ τούτων εὐηργετηκέναι [1]; Καὶ οὐχ ὑπέμεινας οὔτ' ἀκοῦσαί τι [2] αὐτῶν, οὔτ' εἰπεῖν τι αὐτοῖς, ὁ δεινὸς, ὁ περιττὸς, ὁ καὶ τοῖς ἄλλοις [3] βοηθῶν, ἀλλὰ φυγῇ τὴν σωτηρίαν, ὥσπερ ἐκ μάχης, ἐπορίσω. Καὶ οὕτω γε ἀναίσχυντος εἶ, ὥστε καὶ συγγράψαι ταῦτα τοιαῦτα ὄντα ἐπεχείρησας· ὃν ἐχρῆν εὔχεσθαι μηδὲ τῶν ἄλλων τινὰ αὐτὰ συνθεῖναι, ἵν' ἀλλὰ [4] τοῦτό γε κερδάνῃς, τὸ συναπολέσθαι σοι τὰ πεπραγμένα, καὶ μηδεμίαν αὐτῶν μνήμην τοῖς ἔπειτα παραδοθῆναι. Καὶ ὅπως γε καὶ γελάσητε [5], ἀκούσατε τὴν σοφίαν αὐτοῦ. Προθέμενος γὰρ πάντα τὰ [6] τῇ πόλει πεπραγμένα συγγράψαι (καὶ γὰρ σοφιστὴς [7], καὶ ποιητὴς, καὶ φιλόσοφος, καὶ ῥήτωρ, καὶ συγγραφεὺς εἶναι πλάττεται), ἔπειτ' οὐκ ἀπὸ τῆς κτίσεως αὐτῆς, ὥσπερ οἱ ἄλλοι οἱ τοῦτο ποιοῦντες, ἀλλὰ ἀπὸ τῆς ὑπατείας τῆς ἑαυτοῦ [8] ἤρξατο [9]· ἵνα ἀνάπαλιν προχωρῶν, ἀρχὴν μὲν τοῦ λόγου ἐκείνην, τελευτὴν δὲ τὴν τοῦ Ῥωμύλου βασιλείαν ποιήσηται.

22. « Λέγε [10] τοίνυν, τοιαῦτα γράφων καὶ τοιαῦτα πράττων, οἷα δεῖ τὸν ἀγαθὸν ἄνδρα καὶ λόγῳ δημηγορεῖν, καὶ ἔργῳ ποιεῖν· ἀμείνων γὰρ εἶ ἑτέροις τισὶν ὁτιοῦν παραινεῖν ἢ αὐτὸς τὰ προσήκοντα [11] πράττειν, καὶ τοῖς ἄλλοις

1. Sturz (*Addenda*, tome VIII) et Bekk.; vulg. : εὐεργετηκέναι.
2. C, D : οὔτε ἀκοῦσαί τι. — 3. Dans G : πεῖν (dernière syllabe de εἰπεῖν) τι αὐτοῖς ..... τοῖς ἄλλοις, en marge d'une autre main. — 4. Bekk.; vulg : ἵνα, ἀλλα. — 5. G : γαλάσητε. — 6. E om. — 7. Σοφιστής, celui, dit Reim., qui écrit sur l'art de la rhétorique. — 8. K : ἐκείνου.

« eu peur de ceux qui, à t'entendre, avaient recueilli le « bienfait des mesures prises par toi ? Loin d'avoir eu « la force de les écouter et de leur répondre, toi, « l'homme habile, l'homme supérieur, le défenseur des « autres, tu as, comme sur un champ de bataille, cher- « ché ton salut dans la fuite. Ton impudence est telle, « que tu as entrepris d'écrire l'histoire de ces temps, « toi qui devrais faire des vœux pour que personne ne « la recueille, afin d'avoir au moins l'avantage que « tes actions meurent avec toi et que la mémoire n'en « soit pas transmise à la postérité. Afin de pouvoir en « rire, vous aussi, écoutez un trait de la sagesse de cet « homme. S'étant proposé d'écrire l'histoire de tout ce « qui s'est fait dans Rome (car il se donne pour être « à la fois rhéteur, poëte, philosophe, orateur et his- « torien), il a pris non pas la fondation de la ville, « comme les autres écrivains, mais bien son consulat « pour point de départ de son récit, afin d'avoir, « remontant en arrière, ce consulat au commencement « de ses mémoires, et le règne de Romulus à la fin. »

22. « Dis-nous donc, puisque tu écris, puisque tu fais « de telles choses, dis-nous quels sont les discours que doit « tenir au peuple, quelles sont les actions que doit accom- « plir un homme de bien; car tu es meilleur pour conseil- « ler n'importe quoi à d'autres, que pour faire toi-même

9. Cicéron avait écrit sur son consulat des Commentaires en grec aujourd'hui perdus, et un poëme latin dont il nous reste un ou deux fragments. Quant à son dessein d'écrire l'histoire romaine, il est attesté par Plutarque, 41. Cf. Cicéron, Lois, I, 2. — 10. F : λέγει.

11. G : τὰ σήκοντα; et, en marge, d'une autre main, προσ.

ἐπιτιμᾷν, ἢ σεαυτὸν ἐπανορθοῦν. Καίτοι πόσῳ σε [1] κρεῖττον ἦν, ἀντὶ μὲν τῆς δειλίας, ἣν Ἀντωνίῳ ὀνειδίζεις, αὐτὸν τὴν μαλακίαν καὶ τῆς ψυχῆς καὶ τοῦ σώματος ἀποθέσθαι· ἀντὶ δὲ τῆς ἀπιστίας, ἣν ἐκείνῳ προφέρεις, αὐτὸν μήτ' ἄπιστόν τι ποιεῖν, μήτ' αὐτομολεῖν [2]· ἀντὶ δὲ τῆς ἀχαριστίας, ἣν [3] ἐκείνου κατηγορεῖς, αὐτὸν μὴ ἀδικεῖν τοὺς εὐερ-
R. p. 465. γέτας [4]; Ἓν γάρ τοι καὶ τοῦτο τῶν κακῶν τῶν ἐμφύτων αὐτῷ ἐστιν, ὅτι μισεῖ μάλιστα πάντων τούς τι αὐτὸν εὖ πεποιηκότας, καὶ τῶν μὲν ἄλλων ἀεί τινας θεραπεύει, τούτοις δὲ ἐπιβουλεύει. Ἵνα γοῦν τἆλλα ἐάσω, ἐλεηθεὶς ὑπὸ τοῦ Καίσαρος, καὶ σωθεὶς, ἔς τε τοὺς εὐπατρίδας ἐγγραφεὶς [5], ἀπέκτεινεν [6], οὐκ αὐτοχειρίᾳ (πόθεν [7]; δειλός τε οὕτω, καὶ γύννις ὤν [8];), ἀλλ' ἀναπείσας καὶ παρασκευάσας τοὺς τοῦτο [9] ποιήσαντας. Καὶ ὅτι ταῦτ' ἀληθῆ [10] λέγω, αὐτοὶ ἐκεῖνοι ἐδήλωσαν· ὅτε γοῦν γυμνοῖς τοῖς ξίφεσιν ἐς τὴν ἀγορὰν ἐσέδραμον, ὀνομαστὶ αὐτὸν ἀνεκάλεσαν [11] συνεχῶς, εἰπόντες ὦ Κικέρων [12], ὥσπερ που [13] πάντες ἠκούσατε. Ἐκεῖνόν τε οὖν εὐεργέτην ὄντα ἐφόνευσε, καὶ παρ' αὐτοῦ τοῦ Ἀντωνίου καὶ τῆς ἱερωσύνης [14] καὶ τῆς σωτηρίας, ὅτ' [15] ἀπολέσθαι [16] ἐν τῷ Βρεντεσίῳ ὑπὸ τῶν στρατιωτῶν

1. C om. — 2. Cf. XXXVI, 27; XXXIX, 63 et XLVI, 3.

3. F : ἧς; B, G : τῆς. — 4. Allusion à César, clairement désigné plus loin par les mots : ἐκεῖνον εὐεργέτην ὄντα ἐφόνευσε.

5. Originaire d'une famille équestre, Cicéron depuis longtemps aspirait à devenir patricien par le consulat et les grands emplois qu'il avait remplis. Quoiqu'il eût suivi le parti de Pompée, César lui conserva ses honneurs et ses dignités. — 6. Bekk., en note, propose d'ajouter αὐτόν après ce mot, afin de donner à ἀπέκτεινεν un complément direct.

7. C, D, H om. — 8. Dans G, ce mot, quoique effacé, paraît encore.

« ce qu'il faut; pour gourmander les autres, que pour « te corriger toi-même. Combien ne valait-il pas mieux, « au lieu d'adresser à Antoine le reproche de lâcheté, « te dépouiller de ta mollesse morale et physique; au « lieu de lui objecter un manque de foi, ne rien faire de « contraire à la loyauté et ne pas être transfuge; au lieu « de l'accuser d'ingratitude, ne pas toi-même être coupa- « ble de torts envers tes bienfaiteurs? Un des vices que la « nature a mis dans cet homme, c'est, avant tout, sa « haine contre ceux qui lui ont fait du bien; c'est, à « l'égard des autres, l'empressement officieux qu'il mon- « tre pour ceux-ci et les complots qu'il trame contre « ceux-là. Ainsi, pour omettre le reste, c'est que, après « avoir éprouvé la pitié de César, après lui avoir été « redevable de la vie et avoir été par lui inscrit au « nombre des patriciens, il l'a tué, non pas de sa propre « main (comment l'eût-il fait, lui si lâche et si efféminé?), « mais en excitant et en apostant ceux qui ont fait le « coup. La vérité de mes paroles est démontrée par les « meurtriers eux-mêmes : lorsqu'ils s'élancèrent avec « leurs épées nues dans le Forum, ils l'appelèrent par « son nom à leur aide, en criant continuellement : « Ci- « céron! Cicéron! » comme vous l'avez tous entendu. « Cicéron a donc tué celui qui était son bienfaiteur. « Quant à Antoine, qui lui a fait obtenir la dignité d'au- « gure, et qui lui a sauvé la vie, lorsque, à Brindes, il

8. Au lieu de γύννις ὤν, C porte : γυναικώδης, glose qui s'est introduite dans le texte aux lieu et place de la véritable leçon. Cf. Reimarus.

9. C : τοιοῦτο. — 10. Bekk.; vulg. : ταῦτα ἀληθῆ. — 11. H : συνεκάλεσαν.

12. Cf. XLIV, 20 et aussi Philipp. II, 12. — 13. D, H om. — 14. Cicéron (Philipp., II, 2) répond à Antoine qui lui faisait le même reproche que lui fait ici Calénus. — 15. F : οὔτ' ἀπολέσθαι. — 16. Antoine, après la bataille de Pharsale, envoyé avec des légions en Italie pour empêcher les partisans de Pompée d'y rentrer, trouva à Brindes Cicéron qui n'avait pas encore obtenu sa grâce de César. Il l'épargna, et bientôt Cicéron reçut un sauf-conduit.

ἐκινδύνευσε, τυχὼν, τοιαύτας αὐτῷ [1] χάριτας ἀνταποδίδωσι, κακηγορῶν τε αὐτὸν ἐπὶ τούτοις, ἃ μήτ' αὐτὸς, μήτ' ἄλλος τις πώποτε ἐμέμψατο, καὶ κατατρέχων ἐφ' οἷς ἄλλους ἐπαινεῖ. Τὸν γοῦν Καίσαρα τοῦτον, μήθ' ἡλικίαν ἄρχειν [2] ἤ τι τῶν πολιτικῶν πράττειν ἔχοντα, μήθ' ὑφ' ἡμῶν [3] προκεχειρισμένον, ὁρῶν, καὶ δύναμιν πεπορισμένον, καὶ πόλεμον, μήτε ἐψηφισμένων ἡμῶν, μήτε προστεταχότων αὐτῷ, ἀνῃρημένον, οὐ μόνον οὐκ αἰτιᾶταί τι [4] ἀλλὰ καὶ ἐγκωμιάζει [5]. Οὕτως οὔτε τὰ δίκαια πρὸς τοὺς νόμους, οὔτε τὰ συμφέροντα πρὸς τὸ τῷ κοινῷ χρήσιμον ἐξετάζει, ἀλλὰ πάντα ἁπλῶς πρὸς τὴν ἑαυτοῦ βούλησιν διάγει· καὶ ἐφ' οἷς ἄλλους ἀποσεμνύνει, ταῦθ' ἑτέροις [6] ἐγκαλεῖ, καὶ καταψευδόμενος ὑμῶν, καὶ προσδιαβάλλων ὑμᾶς [7].

23. « Σύμπαντα γὰρ τὰ μετὰ τὴν τοῦ Καίσαρος τελευτὴν ὑπ' Ἀντωνίου πεπραγμένα εὑρήσετε ὑφ' ὑμῶν κεκελευσμένα [8]. Καὶ τὸ μὲν περί τε τῆς τῶν χρημάτων διοικήσεως, καὶ περὶ τῆς τῶν γραμμάτων ἐξετάσεως λέγειν, περιττὸν εἶναι νομίζω. Διὰ τί; Ὅτι τὸ μὲν, τῷ κληρονομοῦντι [9] αὐτοῦ [10] τῆς οὐσίας προσῆκον ἂν εἴη πολυπραγμονεῖν [11]· τὸ δὲ, εἴπερ τινὰ ἀλήθειαν κακουργίας εἶχε,

1. C : αὐτῷ. Cf. Philipp., II, 3.

2. Octave n'avait encore que vingt ans. L'expression ἡλικίαν ἄρχειν inspire des doutes à plusieurs commentateurs. Xyl. voudrait πρὸς τὸ ἄρχειν; correction blâmée par Leuncl., qui propose : ἐς τὸ ἄρχειν, ou mieux, τοῦ ἄρχειν; Reiske, tout en reconnaissant que la leçon vulgate peut être défendue par des exemples, préférerait néanmoins lire : ὥστε ἄρχειν.

3. B, F : μήθ' ὑμῶν. — 4. B, C om. — 5. Cf. XLV, 38 et suiv.

6. Le Grammairien anonyme publié dans les *Anecdota* de Bekker,

« faillit être massacré par les soldats, voilà les témoi-
« gnages de reconnaissance qu'il lui accorde, c'est-à-dire
« des injures pour des choses que ni lui-même ni au-
« cun autre n'a jamais incriminées, et des invectives
« pour celles qui valent à d'autres ses éloges. C'est ainsi
« que son César, qui n'a pas encore l'âge ni pour exercer
« une magistrature, ni pour s'occuper des affaires pu-
« bliques, et qui n'a pas été élu par nous, il le voit lever
« une armée, entreprendre la guerre sans que nous
« l'ayons décrétée, sans que nous lui en ayons donné
« mission; et non-seulement il ne l'accuse pas, mais
« même il le comble d'éloges. Voilà comment, loin de
« régler les droits suivant les lois, l'utilité suivant l'in-
« térêt commun, il dirige tout suivant son bon plaisir;
« et ce qu'il exalte chez les uns devient chez les autres
« le sujet d'un blâme, grâce à ses mensonges et à ses
« calomnies contre vous. »

23. « Tout ce qui, après la mort de César, a été fait
« par Antoine, vous trouverez qu'il l'a été en vertu d'or-
« dres émanés de vous. Quant à l'administration des
« finances et à l'examen des mémoires de César, je
« crois superflu d'en parler. Pourquoi? Parce que, d'un
« côté, c'est à celui qui hérite des biens qu'il convien-
« drait de s'en enquérir; et que, d'un autre côté, s'il y
« avait véritablement quelque malversation, il fallait

vol. I, p. 15, : 120 : ταῦτα ἑτέροις. — 7. C : ἡμᾶς. — 8. Cf. XLV, 20 et suiv. — 9. C. om. τὸ μὲν; E : ὅτι (G et H : διότι) τῷ μὲν κληρονομοῦντι.

10. Reiske voudrait αὐτόν, Dion mettant habituellement le nom de personne à l'accusatif; mais, suivant la remarque de Sturz, on le trouve aussi au génitif dans notre auteur (Cf. l'*Index* et la note de Sturz). On pourrait ici encore expliquer le génitif en le faisant le régime de οὐσίας.

11. Après le mot πολυπραγμονεῖν il y a dans G, et dans K, une lacune qui s'étend jusqu'aux mots αὐτῆς τυχεῖν.

τότε ἐχρῆν παραχρῆμα κεκωλύσθαι. Οὔτε γὰρ ὑπὸ μαλης [1] τι αὐτῶν[2], ὦ Κικέρων, ἐπράχθη, ἀλλ' ἐς στήλας, ὡς καὶ
R.p.966. αὐτὸς φῂς, πάντ' ἀνεγράφη[3]. Εἰ δὲ [4] ἐκεῖνος φανερῶς οὕτω καὶ ἀναισχύντως τά τε ἄλλα ἐκακούργησεν, ὡς λέγεις, καὶ τὴν Κρήτην [5] ὅλην ἥρπασεν, ὡς καὶ ἐκ τῶν τοῦ Καίσαρος γραμμάτων ἐλευθέραν μετὰ τὴν τοῦ Βρούτου ἀρχὴν ἀφειμένην, ἣν ὕστερον ἐκεῖνος παρ' ἡμῶν ἐπετράπη, πῶς μὲν ἂν σὺ [6] ἐσιώπησας; πῶς δ' ἂν τῶν ἄλλων τις ἠνέσχετο; ἀλλὰ ταῦτα μὲν, ὥσπερ εἶπον, παραλείψω· οὔτε γὰρ ὀνομαστὶ τὰ πολλὰ αὐτῶν εἴρηται, οὔτ' Ἀντώνιος, ὁ [7] δυνάμενος ὑμᾶς ἀκριβῶς καθ' ἕκαστον ὧν πεποίηκε διδάξαι, πάρεστι. Περὶ δὲ δὴ τῆς Μακεδονίας, τῆς τε Γαλατίας [8], καὶ τῶν ἄλλων ἐθνῶν, τῶν τε στρατοπέδων, ὑμέτερά ἐστιν, ὦ Πατέρες, ψηφίσματα, καθ' ἃ τοῖς [9] τε ἄλλοις ὡς ἕκαστα [10] προσετάξατε, καὶ ἐκείνῳ τὴν Γαλατίαν μετὰ τῶν στρατιωτῶν ἐνεχειρίσατε. Καὶ τοῦτο καὶ [11] Κικέρων οἶδε· παρῆν γὰρ καὶ πάντα γε αὐτὰ [12] ὁμοίως ὑμῖν ἐψηφίζετο. Καίτοι πόσῳ κρεῖττον ἦν τότε αὐτὸν ἀντειπεῖν, εἴπερ τι αὐτῶν μὴ δεόντως ἐγίγνετο, καὶ διδάξαι [13] ὑμᾶς ταῦτα ἃ νῦν προΐσχεται, ἢ παραχρῆμα μὲν σιωπῆσαι καὶ [14] περιϊδεῖν ὑμᾶς ἁμαρτάνοντας, νῦν δὲ λόγῳ μὲν Ἀντωνίῳ ἐγκαλεῖν, ἔργῳ δὲ τῆς βουλῆς κατηγορεῖν;

24. « Οὐδὲ γὰρ οὐδὲ τοῦτο δύναιτ' ἄν τις σωφρονῶν

1. Proverbe grec (Cf. l'*Index*). N'y aurait-il pas en outre une allusion à la réponse (XLIV, 34) de Cassius à Antoine? — 2. Cf. XLV, 23.
3. D: πάντα ἀνεγράφη. — 4. Bekk. propose en note comme conjec-

« l'arrêter sur-le-champ. Rien n'a été fait en cachette,
« Cicéron ; tout a bien été, comme tu le dis toi-même,
« gravé sur des plaques. Si donc, entre autres maléfices
« commis aussi ouvertement et aussi impudemment que
« tu le prétends, Antoine nous a enlevé la Crète tout en-
« tière en laissant libre, soi-disant en vertu des mémoires
« de César, après le gouvernement de Brutus, une province
« qui a été, plus tard, confiée par nous à ce même Brutus,
« comment as-tu gardé le silence ? comment les autres
« citoyens l'ont-ils enduré ? Mais, je l'ai dit, je passerai
« sur ces griefs. La plupart, en effet, n'ont pas été nette-
« ment articulés, et Antoine, qui peut vous renseigner
« exactement sur chacun de ses actes, est absent. Quant
« à la Macédoine, à la Gaule et aux autres provinces, il
« existe des décrets de vous, Pères Conscrits, décrets
« par lesquels vous avez assigné aux autres chacune
« d'elles séparément, tandis que vous avez, par votre
« vote, remis à Antoine et la Gaule et les soldats. Et Ci-
« céron le sait bien : il était présent et il a pris part avec
« vous à tous les décrets. Combien il eût été préférable
« pour lui de s'y opposer alors, si quelqu'un d'eux n'était
« pas convenable, et de vous instruire des considérations
« qu'il allègue aujourd'hui, plutôt que d'avoir, sur le
« moment, gardé le silence et vous avoir laissé com-
« mettre la faute, pour venir aujourd'hui, en apparence
« adresser des reproches à Antoine, mais, en réalité,
« accuser le sénat ! »

24. « Il n'y a, en effet, aucun homme de bon sens

ture : εἴ τε. — 5. Cf. XLV, 32. — 6. H om. — 7. C om. — 8. Cf. XLV, 9.
9. D, E, F : κατὰ τοῖς. — 10. F : καθ' ἕκαστα. — 11. D om.
12. C, D, om. — 13. D : διδάξας. — 14. B, F, om.

εἰπεῖν, ὅτι ἐκεῖνος ταῦθ' ὑμᾶς ψηφίσασθαι ἐβιάσατο [1]. Οὔτε γὰρ αὐτὸς ἰσχύν τινα στρατιωτῶν εἶχεν, ὥστε παρὰ γνώμην ὑμᾶς ποιῆσαί τι καταναγκάσαι, καὶ τὸ πρᾶγμα ὑπὲρ τῆς πόλεως πέπρακται. Ἐπειδὴ γὰρ προὐπέμπετο [2] μὲν [3] τὰ στρατεύματα καὶ συνειστήκει, δέος γὰρ [4] ἦν, μὴ πυθόμενα τῆς [5] τοῦ Καίσαρος σφαγῆς, στασιάσῃ, καί τινα φλαῦρον προστησάμενα, αὖθις πολεμήσῃ [6], ἔδοξεν ὑμῖν, ὀρθῶς καὶ καλῶς ποιοῦσι, τὸν Ἀντώνιον ἐπ' αὐτὰ ἐπιστῆσαι, τὸν ὕπατον, τὸν τὴν ὁμόνοιαν πρυτανεύσαντα [7], τὸν τὴν δικτατορίαν [8] παντελῶς ἐκ τῆς πολιτείας ἐκκόψαντα. Καὶ διὰ τοῦτό γε καὶ τὴν Γαλατίαν [9] αὐτῷ ἀντὶ τῆς Μακεδονίας ἀντεδώκατε, ἵν' ἐνταῦθα ἐν [10] τῇ Ἰταλίᾳ ὢν, μήτε τι κακουργήσῃ, καὶ τὸ προσταχθὲν εὐθὺς ὑφ' ὑμῶν ποιήσῃ [11].

25. « Ταῦτα μὲν οὖν πρὸς ὑμᾶς εἶπον, ἵν' εἰδῆτε ὀρθῶς βεβουλευμένοι [12]. Πρὸς δὲ δὴ [13] Κικέρωνος καὶ ἐκεῖνός μοι ὁ λόγος ἐξήρκει, ὅτι καὶ παρὴν πᾶσι τούτοις, ὅτε ἐγίγνετο, καὶ μεθ' ἡμῶν [14] αὐτὰ ἐψηφίσατο, μήτε στρατιώτην τινὰ Ἀντωνίου ἔχοντος [15], μήθ' ὅλως ἐνδείξασθαί τι φοβερὸν ἡμῖν [16] δυναμένου, δι' ὃ καὶ τῶν συμφερόντων ἄν τι πα-

1. Cf. XLV, 22. — 2. Leuncl. et Bekk.; vulg. : προὔπεμπε; Reim. propose προὐπέμπομεν ou προὐπέμφθη; ce dernier plaît mieux à Sturz. César avait envoyé en avant Antoine en Macédoine avec quatre légions dont il comptait se servir pour faire la guerre aux Parthes. Ce sont les mêmes qui, revenant de Macédoine à Brindes, abandonnèrent Antoine pour passer à César. Cf. XLV, 12. — 3. A, F, et Bekk.; vulg. et les autres mss. om. — 4. B : δέ. — 5. B, F et Bekk.; vulg. et les autres mss. : περὶ τῆς.

6. Ponctuation de Reim., Reiske (cf. la note dans Sturz, p 411), Sturz et Bekk.; vulg. : προστησάμενα αὖθις, πολεμήσῃ.

7. Cf. XLIV, 53; XLV, 23 et 24. — 8. Cf. XLIV, 51 et XLV, 24.

« qui puisse dire qu'on vous ait contraints par violence « à rendre ces décrets. Antoine, d'ailleurs, n'avait pas « une troupe de soldats assez forte pour vous forcer à « quoi que ce soit de contraire à votre intention, et « tout a été fait dans l'intérêt de l'État. Des légions « avaient été envoyées en avant : elles étaient réunies; « il y avait à craindre qu'en apprenant la mort de César, « elles ne se révoltassent, et que, quelque misérable à « leur tête, elles n'excitassent de nouveau la guerre : vous « avez jugé à propos, dans votre sagesse et dans votre « prudence, de leur donner pour chef Antoine, c'est-à- « dire le consul, celui qui avait présidé à la concorde; « celui qui, dans le gouvernement de l'État, avait aboli « complétement la dictature. C'est pour ces motifs que « vous lui avez donné la Gaule en place de la Macédoine, « afin que là, étant en Italie, il ne fît rien de mal et « qu'il exécutât vos ordres à l'instant même. »

25. « Je vous ai dit, à vous, ces paroles pour que vous « sachiez que vos résolutions ont été justes. Quant à « Cicéron, il me suffisait de lui dire qu'il était présent « lorsque toutes ces mesures ont été prises, et qu'il les « a décrétées avec nous à une époque où Antoine n'avait « pas de soldats et ne pouvait nullement être pour nous « un sujet de terreur capable de nous faire négliger le

9. La Gaule Citérieure, enlevée à D. Brutus. Cf. XLV, 9.

10. D : ἐνταυθ' ἐν. — 11. Les mss. et les éd.; Reiske reconnaît que cette onstruction peut se défendre par de nombreux exemples; néanmoins il ne se ferait pas scrupule d'écrire : ὑφ' ὑμῶν εὐθὺς ποιήσῃ.

12. B, D, F, H et Bekk.; vulg. et A, C, E, I : βουλευσάμενοι.

13. A, B, F et Bekk.; vulg. om. — 14. B, F et Bekk.; vulg. : ὑμῶν.

15. Calénus, au ch. précéd., a déjà adressé ce reproche à Cicéron; mais outre les Philippiques (II et V), Appien, G. civ., III, 4, 5, et 45, nous atteste qu'Antoine, dans Rome, était entouré de soldats et qu'il y exerça des violences. — 16. F : ὑμῖν.

B.p.467. ρείδομεν. Ἀλλ' εἰ καὶ τότε ἐσιώπησας, νῦν γε εἰπὲ, τί ἐχρῆν ἡμᾶς ποιῆσαι, τούτων οὕτως ἐχόντων; Ἀφεῖναι τὰ στρατεύματα ἄναρχα; Καὶ πῶς οὐκ ἂν μυρίων κακῶν καὶ τὴν Μακεδονίαν καὶ τὴν Ἰταλίαν ἐνέπλησεν [1]; Ἀλλ' ἑτέρῳ τινὶ προστάξαι; Καὶ τίν' ἂν ἀναγκαιότερον καὶ ἐπιτηδειότερον τοῦ Ἀντωνίου εὕρομεν, τοῦ ὑπάτου, τοῦ πάντα τὰ τῆς πόλεως διοικοῦντος, τοῦ τοσαύτην φυλακὴν τῆς ὁμονοίας ἡμῶν πεποιημένου, τοῦ μυρία ἐπιδείγματα τῆς πρὸς τὸ κοινὸν εὐνοίας παρεσχημένου; Τινὰ [2] τῶν σφαγέων; οἷς οὐδ' ἄλλως ἐν τῇ πόλει διατρίβειν ἀσφαλὲς ἐγίγνετο. Τινὰ τῶν τἀναντία αὐτοῖς φρονούντων; οὓς πάντες ὑπώπτευον. Τίς ἀξιώσει προέχων, τίς ἐμπειρίᾳ προφέρων παρὰ τοῦτον ἄλλος ἦν; Ἀλλ' ἀγανακτεῖς, ὅτι μὴ σὲ προειλόμεθα [3]. Καὶ τίνα μὲν ἀρχὴν εἶχες; Τί δ' οὐκ ἂν ἔδρασας, ὅπλα καὶ στρατιώτας λαβών, ὁ τοσαῦτα καὶ τηλικαῦτα ἐν τῇ ὑπατείᾳ [4] ταράξας ἐκ τῶν ἐπιτετηδευμένων [5] σοι τούτων ἀντιθέτων [6], ὧν μόνον ἦς κύριος;

26. « Ἀλλ' ἐκεῖσε ἐπάνειμι, ὅτι καὶ παρῆς τούτοις, ὅτε ἐψηφίζετο, καὶ οὐδὲν ἀντεῖπες, ἀλλὰ καὶ συγκατέθου πᾶσιν αὐτοῖς, ὡς καὶ ἀρίστοις καὶ ἀναγκαίοις δηλονότι οὖσιν. Οὐ γάρ που καὶ παῤῥησίας ἐνδεὴς ἦσθα· πολλὰ γοῦν καὶ μάτην ὑλάκτεις [7]. Οὐ μὴν οὐδὲ ἐφοβήθης τινά· πῶς γὰρ

1. A, F, Sturz et Bekk.; vulg. : ἀνέπλησαν.
2. Bekk.; vulg. : τίνα; de même, un peu plus loin.
3. C : προειλώμεθα.
4. Calénus a déjà fait cette critique au ch. 20.
5. D : ἐπιτηδευμένων; H : ἐπιτηδευμάτων. — 6. Leuncl., Reim., Sturz

4. Sous Sylla, en effet, les auteurs des massacres se faisaient comme un rempart de leur audace même : c'était la première fois qu'on essayait pareille chose, et ce n'était pas de dessein prémédité. Aussi la plupart des meurtres étaient-ils commis avec moins de perversité, étant le résultat non de la réflexion, mais du hasard, et les victimes, succombant à des accidents subits et inouïs jusqu'alors, trouvaient une sorte d'adoucissement à leurs malheurs dans ce qu'ils étaient imprévus. Mais, à l'époque dont je parle ici, tout ce qu'on avait osé auparavant, les uns pour l'avoir eux-mêmes exécuté, les autres pour l'avoir vu exécuter; d'autres, enfin, pour en avoir récemment entendu le détail, ayant d'avance, pendant l'intervalle et dans l'attente de circonstances pareilles, ceux-ci médité de le commettre, ceux-là appréhendé de le souffrir; les premiers, pour rivaliser avec les crimes précédents et renchérir par la nouveauté sur les raffinements d'autrefois, se livraient à une foule d'actions des plus étranges; tandis que les autres, réfléchissant à tout ce qu'ils pouvaient souffrir, sentaient, comme s'ils y eussent été déjà en proie, leurs âmes déchirées bien avant que le fût leur corps.

5. C'est pour cela que les résultats furent alors pires que la première fois, et aussi parce que, au temps de Sylla, ses ennemis et ceux d'hommes puissants près de

l'omission d'un substantif. « Nam repeti superius ζηλώσει vix commode potest. *Studio*, Xylander, quasi σπουδῇ intelligens, » dit Reimarus. Suivant Reiske, il manque προθυμίᾳ ou δεινότητι. Enfin, Reim. pense, et Bekker a donné en note cette conjecture, que peut-être il faudrait, plus bas, lire ἐπιτεχνήσει, au lieu de ἐξ ἐπιτεχνήσεως. — 8. A, C, E, F, I, K : κενῶσαι; G : νενῶσαι. — 9. Bekk. : Κἄν τε.

10. Gron., d'après A (de même, B, F, G, I, K), et les ed. subséq.; C, D, E, H om. : τῶν τε περὶ. . . φίλων αὐτοῦ.

τε ἄλλων ἀνθρώπων οὐδείς, ἐκείνου γε κελεύσαντος, ἐφθάρη· ὥστε ἔξω τῶν πάνυ πλουσίων[1] (τούτοις γὰρ οὐκ ἔστιν ὅτε εἰρήνη[2] πρὸς τὸν ἰσχυρότερον ἐν τοῖς τοιούτοις γίγνεται), οἵ γε λοιποὶ ἐθάρσουν· ἐν δὲ δὴ ταῖς δευτέραις ταύταις σφαγαῖς, οὐχ ὅπως οἱ ἐχθροὶ αὐτῶν, ἢ καὶ οἱ πλούσιοι, ἀλλὰ καὶ οἱ πάνυ φίλοι καὶ παρὰ δόξαν ἐκτείνοντο. Ἄλλως μὲν γὰρ ἤ[3] τις ἢ οὐδεὶς ἐς ἔχθραν ἀπ' ἰδίας[4] τινὸς αἰτίας τοῖς ἀνδράσιν ἐκείνοις, ὡς καὶ σφαγῆναι πρὸς αὐτῶν, ἐληλύθει[5]· τὰ δὲ δὴ κοινὰ πράγματα, καὶ αἱ τῶν δυναστειῶν διαλλαγαί, καὶ τὰς φιλίας τάς τε ἔχθρας τὰς σφοδρὰς αὐτοῖς ἐπεποιήκεσαν. Πάντας γὰρ τοὺς τῷ πέλας συναραμένους[6] τέ τι καὶ συμπράξαντας ἐν πολεμίου μοίρᾳ οἱ ἕτεροι ἐτίθεντο· καὶ οὕτω συνέβαινε τοὺς αὐτοὺς καὶ φίλους τινὶ αὐτῶν καὶ ἐχθροὺς[7] πάντως γεγονέναι· ὥστε ἐν ᾧ[8] ἰδίᾳ ἕκαστος τοὺς ἐπιβουλεύσαντάς[9] οἱ ἠμύνετο, καὶ τοὺς φιλτάτους κοινῇ συναπώλλυσαν. Ἐκ γὰρ τῶν πρὸς ἀλλήλους πραγμάτων τό τε[10] οἰκειωθὲν σφίσι καὶ τὸ ἀλλοτριωθὲν ἐν λόγῳ τινὶ τιθέμενοι, οὔτε τὸν ἑαυτοῦ τις αὐτῶν ἐχθρὸν[11] τιμωρήσασθαι, φίλον ἑτέρου ὄντα, ἐδύνατο, μὴ ἀντιδιδοὺς ἄλλον[12]· καὶ ἐκ τῆς τῶν γεγονότων ὀργῆς, τῆς

1. Salluste, Catilina 52 : « Uti quisque domum aut villam, postremo aut vas aut vestimentum alicujus concupiverat, dabat operam, uti in proscriptorum numero esset... Neque prius finis jugulandi fuit, quam Sulla omnes suos divitiis explevit. » Vell. Paterc., II, 22 : « Id quoque accessit, ut sævitiæ causam avaritia præberet, et modus culpæ ex pecuniæ modo constitueretur, et qui fuisset locuples, fieret inde nocens. » Plutarque, Sylla, 3 : Ἦσαν δ' οἱ δι' ὀργὴν ἀπολλύμενοι καὶ δι' ἔχθραν οὐδὲν μέρος τῶν διὰ χρήματα σφαττομένων. Ἀλλὰ καὶ λέγειν ἐπῆει τοῖς κολάζουσιν,

lui furent les seuls qui périrent, et que nul autre, par son ordre du moins, ne fut mis à mort; de telle sorte qu'en dehors des gens tout à fait riches (pour ceux-là en effet, jamais, en pareil cas, il n'y a de paix avec le plus fort), le reste des citoyens était sans crainte; au lieu que, dans ces nouveaux massacres, non-seulement les ennemis des triumvirs et les riches, mais même leurs plus grands amis, étaient tués contre toute attente. Presque personne d'ailleurs n'avait, pour une cause privée, encouru l'inimitié de ces hommes au point d'être égorgé par eux; mais les affaires publiques et des compromis d'ambition avaient fait naître chez eux des amitiés et des haines très-fortes. Quiconque avait favorisé l'un et pris son parti, les autres le mettaient au rang de leurs ennemis. Aussi arriva-t-il que les mêmes hommes étaient inévitablement amis de l'un et ennemis des autres; en sorte que si chacun, en son particulier, se vengeait de ceux qui avaient agi contre lui, en commun, tous faisaient périr leurs amis les plus chers. Car comme, vis-à-vis les uns des autres, ils tenaient compte des bonnes et des mauvaises dispositions qui leur avaient été témoignées, aucun d'eux ne pouvait punir son ennemi, quand il était ami d'un autre, sans en livrer un autre en échange; et leur ressentiment pour ce qui s'était passé, ainsi que les soupçons qui en étaient la suite, les poussant à ne

ὡς τόνδε μὲν ἀνῄρηκεν οἰκία μεγάλη, τόνδε κῆπος, ἄλλον ὕδατα θερμά. Ce qui avait eu lieu précédemment sous Sylla eut lieu également sous les triumvirs, comme on le verra plus bas, ch. 6.

2. C : εἰρήνην. — 3. C, D om.

4. G : ἐπ' ἰδίας. — 5. C, D, E : ἐληλύθειν; F : ἐληλύθη. — 6. B : συναιραμένους. — 7. Reiske : ἑτέρῳ ἐχθρούς. — 8. F om. : ἐν ᾧ. — 9. C : ἐπιβουλεύοντας. — 10. D : τότε. — 11. F : ἐχθρὸν αὐτῶν; D, H om. : αὐτῶν.

12. G om.

τε ἔπειτα ὑποψίας, παρ' οὐδὲν τὴν τοῦ ἑταιρικοῦ σωτηρίαν πρὸς τὴν τοῦ διαφόρου τιμωρίαν ποιούμενοι[1], ῥᾳδίως σφᾶς ἀντεδίδοσαν.

6. Κἀκ τούτου τούς τε φιλτάτους ἀντὶ τῶν ἐχθίστων[2] ἀλλήλοις προέβαλλον, καὶ τοὺς πολεμιωτάτους ἀντὶ τῶν ἑταιροτάτων, τοῦτο μὲν, ἴσους πρὸς ἴσους[3] τοῦτο δὲ, ἀνθ' ἑνὸς[4] πλείονας, ἢ καὶ ἀντὶ πλειόνων ἐλάττονας ἠλάττοντο· τά τε ἄλλα ἐν ἀγορᾶς τρόπῳ[5] ποιούμενοι, καὶ ὑπερβάλλοντες, ὥσπερ ἐν πρατηρίῳ. Εἰ μὲν[6] εἴς τις ἑνός τινος ἀντάξιος[7] ὥστ' ἰσομοιρεῖν εὑρίσκετο, ἁπλῆ ἡ ἀντίδοσις ἐγίγνετο· ὅσους δὲ δὴ ἀρετή τις ἢ ἀξίωσις, ἢ καὶ συγγένεια ἀνετίμα,
R. p. 495. ἀντὶ πλειόνων ἀπώλλυντο. Ἅτε γὰρ ἐν ἐμφυλίοις[8] πολέμοις, καὶ πολλῷ μὲν χρόνῳ, πολλαῖς δὲ καὶ πράξεσι γενομένοις[9], συχνοὶ καὶ τοῖς πάνυ συγγενέσι[10] κατὰ τὸ στασιωτικὸν προσεκεκρούκεσαν. Ἀμέλει τῷ τε Ἀντωνίῳ καὶ ὁ θεῖος Λούκιος Καῖσαρ[11], καὶ τῷ Λεπίδῳ[12] ὁ ἀδελφὸς Λούκιος Παῦλος, ἐπεπολέμωντο. Ἀλλ' οὗτοι μὲν ἐσώθησαν[13], τῶν δὲ δὴ ἄλλων πολλοὶ καὶ παρ' αὐτοῖς τοῖς τε φίλοις καὶ τοῖς ἀναγκαίοις, ὑφ' ὧν περ ἐς τὰ μάλιστα[14] καὶ[15] σωθήσεσθαι καὶ τιμηθήσεσθαι προσεδόκων, ἐσφάγη-

1. C : ποιούμενος. — 2. F : ἐχθρῶν. — 3. E : προίσους, au lieu de πρὸς ἴσους. — 4. Bekk. : ἑνός τινος. — 5. Dans G, on lit en marge, d'une autre main : ἠλάττοντο, ἐλαττόνας. . . . τρόπῳ.

6. Bekker propose de lire : Εἰ μὲν γάρ. — 7. G : ἀνταξίας.

8. G : ἐμφύλιοι. — 9. E : γενομέναις. — 10. A, B, G : συγγενεῦσι.

11. Avec Xyl, Paulmier et Bekk., je supprime le mot Ἀντώνιος donné par les mss. et conservé par les éditeurs précédents, qui se conten-

faire aucun cas du salut d'un ami en comparaison de la punition d'un adversaire, les décidaient sans peine à consentir à cet échange.

6. Aussi se livraient-ils les uns aux autres ceux qui leur étaient les plus chers en échange de ceux qui leur étaient les plus odieux, et leurs plus grands ennemis en échange de ceux avec qui ils avaient les liaisons les plus intimes. Tantôt ils donnaient nombre pour nombre, tantôt plusieurs pour un seul, ou un nombre moindre pour un plus grand, trafiquant ainsi que sur un marché public et mettant tout à l'enchère comme pour des objets vendus sous la haste. Quand l'un était trouvé égal à l'autre, de manière à en être, pour ainsi dire, l'équivalent, alors l'échange se faisait purement et simplement; mais ceux à qui quelque vertu, quelque dignité ou quelque parenté donnait un prix supérieur, étaient mis à mort en échange d'un nombre plus grand. Car, ainsi qu'il arrive dans les guerres civiles, surtout quand elles se prolongent avec des incidents très-divers, plusieurs avaient, dans les séditions, offensé leurs parents les plus proches. Ainsi, Antoine avait eu à combattre contre son oncle Lucius César; Lépidus, contre son frère L. Paulus. Ces derniers, cependant, furent sauvés; tandis que, parmi les autres, beaucoup rencontrèrent dans les amis et dans les parents dont ils atten-

tent de le mettre entre crochets. Ce Lucius César était le frère de Julie, mère d'Antoine. Or le nom de César ne se trouve pas dans la généalogie d'Antoine. — 12. B, C, D, E, F, G : καὶ ὁ.

13. Antoine accorda la vie à Lucius César, aux prières de sa mère; Lépidus laissa son frère Paulus s'enfuir à Milet. (Cf., plus bas, le commencement et la fin du ch. 8.)

14. E : καὶ τὰ μάλιστα. — 15. C, H οὐκ.

σαν. Ὅπως γὰρ μηδεὶς, στερηθήσεσθαι[1] τῶν ἄθλων φοβηθεὶς[2], ὅτι τοὺς ἐπὶ τοῦ Σύλλου φονεύσαντάς τινας ὁ Κάτων ὁ Μάρκος ταμιεύσας ἀπήτησε πάνθ' ὅσα ἐπ' αὐτοῖς εἰλήφεσαν[3], ἧττόν τινα ἀποκτείνῃ, προηγόρευσαν ὅτι οὐδένα αὐτῶν[4] ἐς τὰ δημόσια γράμματα ἐσγράφουσι. Τούς[5] τε οὖν ἄλλους ἑτοιμότερον διὰ τοῦτ'[6] ἔσφαζον[7], καὶ τοὺς εὐπόρους, εἰ καὶ μηδενὶ αὐτῶν ἀπήχθοντο[8]· παμπόλλων τε γὰρ χρημάτων δεόμενοι, καὶ οὐκ ἔχοντες ὁπόθεν[9] ἄλλοθεν τὰς ἐπιθυμίας τῶν στρατιωτῶν ἀποπληρώσωσι, κοινήν τινα κατὰ τῶν πλουσίων ἔχθραν προσέθεντο[10]. Καὶ ἄλλα τε διὰ τοῦτο πολλὰ παρηνομήθη[11], καὶ παιδίσκον τινὰ ἐς ἐφήβους ἐσήγαγον[12], ἵν' ὡς εἰς ἄνδρας ἤδη τελῶν ἀποθάνῃ.

7. Ταῦτα δὲ ἐπράττετο μὲν[13] ὑπό τε τοῦ[14] Λεπίδου καὶ ὑπὸ τοῦ[15] Ἀντωνίου μάλιστα (πρός τε γὰρ τοῦ Καίσαρος τοῦ προτέρου ἐπὶ μακρότατον τιμηθέντες, καὶ ἐν ταῖς ἀρχαῖς ταῖς τε ἡγεμονίαις ἐπὶ πλεῖστον γενόμενοι, πολλοὺς ἐχθροὺς εἶχον[16])· ἐδόκει δὲ καὶ ὑπὸ τοῦ Καίσαρος κατὰ τὴν τῆς δυναστείας κοινωνίαν[17] γίγνεσθαι, ἐπεὶ αὐτός γε οὐδέν τι συχνοὺς ἀποκτεῖναι ἐδεήθη· τῇ τε γὰρ

1. Gron., d'après A, et les éd. subséq.; de même les autres mss., à l'exception de C, D, E, qui omettent προσεδόκων. . . στερηθήσεσθαι.

2. Après ce mot, lacune dans H.

3. Cf. Plutarque, 17. — 4. Reimarus : « Quanquam excusari hæc possunt, melius tamen forte legas οὐδὲν αὐτῶν. . . ἐσγράψουσι. » Bekker donne en note cette conjecture. Quant à ce qu'il faut entendre ici par ὑπομνήμασιν, on peut consulter, dans les Mémoires d'Histoire ancienne et

daient le plus secours et respect, des gens qui les égorgèrent. Pour que la crainte d'être dépouillé de ses récompenses (M. Caton, dans sa questure, réclama des assassins du temps de Sylla tout ce qu'ils avaient reçu pour ces meurtres) ne rendît aucun meurtrier moins hardi à verser le sang, les triumvirs déclarèrent qu'aucun écrit public ne conserverait leur nom. Aussi les meurtriers n'en furent que plus disposés à égorger leurs concitoyens et les riches, sans avoir contre eux aucune animosité. La quantité d'argent dont ils avaient besoin, et l'impossibilité de contenter autrement les désirs des soldats, rendirent les triumvirs ennemis communs des riches. Entre autres contraventions aux lois, qui en furent la suite, ils mirent un enfant au nombre des adolescents, afin qu'étant déjà entré dans la classe des hommes, on pût le faire mourir.

7. Antoine et Lépidus étaient les principaux auteurs de ces violences (honorés pendant longtemps par le premier César, et ayant exercé plusieurs magistratures et commandements, ils avaient beaucoup d'ennemis); mais, parce qu'il partageait la puissance avec eux, César semblait en être coupable aussi, bien qu'il n'eût aucun besoin de faire mourir beaucoup de monde; car il n'était

de Philologie de M. Egger, un article relatif au livre de M. J.-V. Le Clerc sur les Journaux chez les Romains. — 5. A, B, F : Τούτους.

6. Peir. om. : διά τοῦτ'. — 7. Peir. : ἐσφαζον οἱ περὶ Ἀντώνιον.

8. Peir. : ἤχθοντο. — 9. C : πόθεν. — 10. Bekk. ; vulg. : προέθεντο.

11. Peir. : διὰ τοῦτο παρενεμήθη. — 12. Cf. App. IV, 30. Peir. : ἐσήγαγε.

13. Peir. om. — 14. Peir. om. — 15. Peir. om. : ὑπὸ τοῦ. — 16. Peir. om. : μάλιστα. . . εἶχον. — 17. D : κοινωνίας.

φύσει οὐκ ὠμὸς ἦν, καὶ ἐν τοῖς τοῦ πατρὸς ἤθεσιν ἐνετέθραπτο. Πρὸς δ' ἔτι νέος τε ὢν, καὶ ἄρτι ἐς τὰ πράγματα παριὼν, οὔτ' ἄλλως ἀνάγκην[1] πολλοὺς σφοδρῶς μισεῖν εἶχε, καὶ φιλεῖσθαι ἤθελε. Σημεῖον δὲ, ὅτι ἀφ' οὗ τῆς τε πρὸς ἐκείνους συναρχίας ἀπηλλάγη, καὶ τὸ κράτος μόνος ἔσχεν, οὐδὲν ἔτι τοιοῦτον ἔπραξε. Καὶ τότε δὲ οὐχ ὅσον
R.p.496. πολλοὺς οὐκ[2] ἔφθειρεν, ἀλλὰ καὶ ἔσωσε πλείστους[3]· τοῖς τε προδοῦσι τοὺς δεσπότας ἢ τοὺς φίλους χαλεπώτατα, καὶ τοῖς συναραμένοις[4] τισὶν ἐπιεικέστατα[5] ἐχρήσατο. Τεκμήριον δέ· Τανουσία[6], γυνὴ ἐπιφανὴς, τὸν ἄνδρα Τίτον Οὐίνιον[7] ἐπικηρυχθέντα τὸ μὲν πρῶτον ἐς κιβωτὸν παρὰ ἀπελευθέρῳ[8] τινὶ Φιλοποίμενι κατέκρυψεν, ὥστε καὶ πίστιν τοῦ τεθνηκέναι αὐτὸν παρασχεῖν· μετὰ δὲ τοῦτο δημοτελῆ ἑορτὴν, ἣν συγγενής τις αὐτῆς ποιήσειν ἔμελλε, τηρήσασα, τόν τε Καίσαρα διὰ τῆς Ὀκταουΐας τῆς ἀδελφῆς ἐς τὸ θέατρον μόνον[9] τῶν τριῶν ἐσελθεῖν διεπράξατο[10]· κἀνταῦθα ἐκπηδήσασα[11], τό τε πραχθὲν ἀγνοοῦντί οἱ ἐμήνυσε καὶ τὴν κιβωτὸν αὐτὴν ἐσκομίσασα, ἐκεῖθεν τὸν ἄνδρα[12] ἐξήγαγεν, ὥστε τὸν Καίσαρα θαυμάσαντα πάντας[13] μὲν αὐτοὺς ἀφεῖναι (καὶ γὰρ τοῖς

1. Bekk.; vulg. : ἂν ἀνάγκην. — 2. Peir. om.

3. Florus IV, 7 : « Hæc scelera in Antonii Lepidique tabulis; Cæsar percussoribus patris contentus fuit, ideo ne, si inulta fuisset, etiam justa ejus cædes haberetur. » Suétone, 27 : « Restitit quidem aliquamdiu collegis, ne qua fieret proscriptio, sed inceptam utroque acerbius exercuit. Namque illis in multorum sæpe personam per gratiam et preces exorabilibus, solus magnopere contendit ne cui parceretur. Proscripsitque etiam C. Toranium tutorem suum (cf. Appien, IV, 12) eumdemque collegam

pas cruel de sa nature, et il avait été élevé dans les mœurs de son père. En outre, jeune encore et récemment arrivé aux affaires, il n'avait eu aucune occasion de haine bien vive contre personne, et, de plus, il voulait être aimé. La preuve en est que, dès qu'il fut délivré de ses collègues et seul maître du pouvoir, il ne fit plus rien de pareil. Même alors, non-seulement le nombre de ses victimes fut peu considérable, mais encore il en sauva beaucoup; il en usa durement envers ceux qui trahirent leurs maîtres ou leurs amis, tandis qu'il se montra plein de bonté envers ceux qui leur vinrent en aide. Par exemple, Tanusia, femme d'une naissance distinguée, cacha d'abord dans un coffre, chez son affranchi Philopœmen, T. Vinius, son mari, qui était proscrit, pour faire croire à sa mort; profitant ensuite de jeux publics que devait célébrer un de ses parents, elle s'arrangea, avec l'aide d'Octavie, sœur de César, pour qu'il vînt au théâtre seul des triumvirs, et là, s'élançant vers lui, elle lui découvrit son secret, et faisant apporter le coffre, en tira son mari; de telle sorte que César, frappé d'admiration, leur fit grâce à tous (car il y avait peine

patris sui Octavii in ædilitate. » — 4. F : συναιραμένους. — 5. Peir. : τισὶ ἐπιεικέστατα.

6. D, H : Ταρουσία.

7. Peir. : Βίνιον. Appien, IV, 44, lui donne le nom de Junius.

8. Peir. : ἀπελευθέρων.

9. Peiresc. : μόνων. — 10. Peiresc. : διετάξατο.

11. D, H : ἐσπηδήσασα.

12. Peir. : τὸν ἄνδρα ἐκεῖθεν. — 13. H : πάντα.

συγκρύψασί τινα θάνατος προείρητο), τὸν δὲ δὴ Φιλοποίμενα καὶ ἐς τὴν ἱππάδα κατατάξαι [1].

8. Ἐκεῖνος [2] μὲν οὖν πολλοὺς, ὅσους γε καὶ ἠδυνήθη, διεσώσατο· ὅ τε Λέπιδος [3] τῷ τε [4] ἀδελφῷ τῷ Παύλῳ ἐς Μίλητον [5] ἐκδράναι ἐπέτρεψε, καὶ πρὸς τοὺς ἄλλους οὐκ [6] ἀπαραίτητος ἦν· ὁ δὲ Ἀντώνιος [7] ὠμῶς καὶ ἀνηλεῶς οὐχ ὅτι τοὺς ἐκτεθέντας, ἀλλὰ καὶ τοὺς ἐπικουρῆσαί τινι [8] αὐτῶν ἐπιχειρήσαντας ἔκτεινε. Τάς τε [9] κεφαλὰς σφῶν, εἰ καὶ σιτούμενος ἐτύγχανεν, ἐπεσκόπει [10], καὶ ἐπὶ πλεῖστον τῆς τε ἀνοσιωτάτης καὶ τῆς οἰκτροτάτης αὐτῶν ὄψεως ἐνεπίμπλατο. Καὶ ἡ γε Φουλουΐα [11] πολλοὺς καὶ [12] αὐτὴ καὶ κατ' ἔχθραν, καὶ διὰ χρήματα, καὶ ἔστιν οὓς οὐδὲ γινωσκομένους ὑπὸ τοῦ ἀνδρὸς [13], ἐθανάτωσεν. Ἑνὸς γοῦν τινὸς κεφαλὴν ἰδὼν, εἶπεν, ὅτι « Τοῦτον οὐκ ἠπιστάμην. » Ὡς δ' οὖν [14] καὶ ἡ τοῦ Κικέρωνός ποτε ἐκομίσθη σφίσι (φεύγων γὰρ [15] καὶ καταληφθεὶς ἐσφάγη), ὁ μὲν Ἀντώνιος [16] πολλὰ αὐτῷ καὶ δυσχερῆ ἐξονειδίσας, ἔπειτ' ἐκέλευσεν [17] αὐτὴν ἐκφανέστερον [18] τῶν ἄλλων ἐν τῷ βήματι προτεθῆναι, ἵν' ὅθεν κατ' αὐτοῦ δημηγορῶν ἠκούετο, ἐνταῦθα μετὰ τῆς χειρὸς τῆς δεξιᾶς, ὥσπερ ἀπετέτμητο, ὁρῷτο· ἡ δὲ δὴ Φουλουΐα [19] ἔς τε τὰς χεῖρας αὐτὴν πρὶν

1. Suétone, 27 : « Postea T. Vinium Philopœmenem, quod patronum suum proscriptum celasse olim diceretur, equestri dignitate decoravit. » Appien donne à cet affranchi le nom de Philémon au lieu de celui de Philopœmen. — 2. C, D, E : ἐκείνους.

3. Peir. : ὅτι καὶ Λέπιδος. — 4. Peir. om. — 5. Paulus, suivant Appien, fit voile vers Brutus après la mort duquel il se retira enfin à Milet.

6. Zon., contredisant Dion , om. — 7. Peir. : ὅτι Ἀντώνιος.

de mort pour ceux qui recélaient un proscrit) et éleva Philopœmen à la dignité de chevalier.

8. César donc sauva tous ceux qu'il put; Lépidus aussi permit à son frère Paulus de s'enfuir à Milet, et ne se montra point inexorable à l'égard des autres; mais Antoine faisait cruellement et sans pitié mourir non-seulement les proscrits, mais encore ceux qui avaient essayé de secourir quelqu'un d'entre eux. Il examinait leurs têtes, même lorsqu'il se trouvait à table, et restait longtemps à se rassasier de ce funeste et déplorable spectacle. Fulvie aussi, tant pour satisfaire sa haine particulière que pour avoir leur argent, fit mourir beaucoup de citoyens, dont quelques-uns n'étaient même pas connus de son mari. C'est ainsi qu'en voyant la tête de l'un d'eux Antoine s'écria : « Je ne le connaissais pas. » Quand la tête de Cicéron leur fut enfin apportée (arrêté dans sa fuite, il avait été mis à mort), Antoine, après lui avoir adressé de sanglants reproches, ordonna de l'exposer sur les Rostres, plus en vue que les autres, afin qu'en ce même endroit d'où le peuple l'avait entendu parler contre lui, il l'y pût voir, la main droite coupée; Fulvie prit la tête dans ses mains, avant qu'on l'em-

8. C, D : τι. — 9. Reiske : Τάς τε γάρ. — 10. C : ἐσκόπει.
11. Bekk.; Peir. : Ὅτι καὶ ἡ Φουλουία ; vulg. : Καὶ ἥ τε Φουλουία.
12. A, H et Bekk.; vulg. : μὲν καί.— 13. Peir. : τ' ἀνδρός.
14. Coislin : Ὡς γοῦν. — 15. C, D : δέ. — 16. Plutarque rejette également sur Antoine la plus grande partie des proscriptions. Peir. : ὁ Ἀντώνιος; F : ὁ μὲν οὖν Ἀντώνιος. — 17. Peir. : ἔπειτα ἐκέλευσεν.
18. D : ἐφανέστερον. — 19. Peir. : Φουλβία.

ἀποκομισθῆναι, ἐδέξατο[1], καὶ ἐμπικραναμένη[2] οἱ καὶ
R.p.497. ἐμπτύσασα ἐπί τε τὰ γόνατα ἐπέθηκε, καὶ τὸ στόμα αὐτῆς[3] διοίξασα τήν τε γλῶσσαν ἐξείλκυσε καὶ ταῖς βελόναις, αἷς ἐς τὴν κεφαλὴν ἐχρῆτο, κατεκέντησε, πολλὰ ἅμα καὶ μιαρὰ προσεπισκώπτουσα[4]. Καὶ οὗτοι δ' οὖν ὅμως ἔσωσάν τινας, παρ' ὧν γε καὶ πλείω χρήματα ἔλαβον ἢ τελευτησάντων εὑρήσειν ἤλπισαν· καὶ ἵνα γε[5] μὴ κεναὶ[6] αἱ ἐν τοῖς λευκώμασι χῶραι τῶν ὀνομάτων αὐτῶν ὦσιν, ἑτέρους ἀντενέγραψαν. Πλήν γε[7] ὅτι τὸν θεῖον ὁ Ἀντώνιος[8], πολλὰ τῆς μητρὸς τῆς ἑαυτοῦ τῆς Ἰουλίας ἱκετευσάσης, ἀφῆκεν, οὐδὲν ἄλλο χρηστὸν εἰργάσατο[9].

9. Πολύτροποι μὲν οὖν διὰ ταῦτα αἱ σφαγαί, πολυειδεῖς δὲ καὶ σωτηρίαι τισὶν ἐγένοντο[10]. Συχνοὶ μὲν γὰρ καὶ[11] πρὸς τῶν φιλτάτων ἀπώλοντο, συχνοὶ δὲ[12] ὑπὸ τῶν ἐχθίστων[13] ἐσώθησαν. Ἄλλοι σφᾶς αὐτοὺς ἀπέκτειναν, ἄλλους αὐτοὶ οἱ ἐπελθόντες, ὡς καὶ φονεύσαντες[14], ἀπέλυσαν. Προδόντες δέ τινες δεσπότας, ἢ καὶ φίλους, ἐκολάσθησαν, καὶ ἕτεροι δι' αὐτὸ τοῦτο ἐτιμήθησαν· οἵ τε περιποιήσαντές τινας, οἱ μὲν δίκην ἔδοσαν, οἱ δὲ καὶ γέρα ἔλαβον. Οἷα γὰρ οὐχ ἑνὸς ἀνδρὸς, ἀλλὰ τριῶν, πρός τε τὴν ἐπιθυμίαν τὴν ἑαυτοῦ ἑκάστου, καὶ πρὸς τὸ ἴδιον συμφέρον πάντα ποιούντων, καὶ μήτε τοὺς αὐτοὺς ἐχθροὺς ἢ φίλους

1. Peiresc. : ἐδέξατο πρὶν ἀποκομισθῆναι. — 2. C : ἐμπικρανομένη.
3. Reiske : αὐτή.
4. E : προεπισκώπτουσα ; Xiph. et Zon. : ἐπισκώπτουσα. — 5. C om. — 6. B : καιναί. — 7. Bekk. : τε.
8. Cf. ch. 6. — 9. A, B, F om. : οὐδὲν... εἰργάσατο. — 10. Appien est,

portât, et, après l'avoir insultée par des paroles amères et avoir craché dessus, elle la plaça sur ses genoux; puis, lui ouvrant la bouche, elle en tira la langue, qu'elle perça avec les aiguilles dont elle se servait pour parer sa tête, tout en l'accablant de railleries criminelles. Tous les deux, cependant, épargnèrent quelques proscrits dont ils reçurent plus d'argent qu'ils n'espéraient en retirer de leur mort; et, pour ne pas laisser vides, sur les tables de proscription, la place occupée par leurs noms, ils leur substituèrent d'autres victimes. Ainsi donc, excepté la grâce de son oncle, accordée aux instantes supplications de sa mère Julia, Antoine ne fit rien d'honnête.

9. Durant ces malheurs, il y eut diverses façons d'être mis à mort, de même qu'il y eut diverses façons d'être sauvé. Beaucoup, en effet, durent leur perte à leurs plus grands amis; beaucoup durent leur salut à leurs plus grands ennemis. Les uns se donnèrent eux-mêmes la mort; d'autres furent épargnés par les meurtriers eux-mêmes, qui firent semblant de les avoir tués. Il y en eut de punis pour avoir trahi leurs maîtres, ou leurs amis; d'autres qui reçurent des honneurs pour le même fait; quelques-uns de ceux qui tirèrent du danger des proscrits furent livrés au supplice, quelques autres furent récompensés. Comme il y avait non pas un seul magistrat, mais trois, faisant tout chacun suivant son caprice et son intérêt particulier, qu'ils n'avaient pas les mêmes hommes pour ennemis ou

de tous les historiens que nous possédons, celui qui, dans son quatrième livre des Guerres civiles, nous a transmis le plus de détails sur ces proscriptions. — 11. D, E, H : Συχνοὶ δὲ καί. — 12. C, D, E, H : καὶ συχνοί; Gom. — 13. E : ἐχθρῶν.

14. Reiske et Bekk. : φονεύσοντες.

ἡγουμένων, σωθῆναί τε πολλάκις[1] ὃν ὁ ἕτερος ἀπολέσθαι, καὶ φθαρῆναι αὖ ὃν ὁ ἕτερος περιγενέσθαι ἤθελε, σπουδαζόντων, πολλὰ καὶ ποικίλα συνέβαινεν, ὥς που καὶ εὐνοίας ἢ[2] μίσους πρός τινα ἔχοντες ἦσαν.

10. Ἐγὼ οὖν τὸ μὲν πάντα αὐτὰ ἀκριβῶς καθ' ἕκαστον[3] ἐπεξελθεῖν παραλείψω (πάμπολύ τε γὰρ ἔργον ἂν εἴη, καὶ οὐδὲν μέγα τῇ συγγραφῇ παρέξεται)· ἃ δὲ ἀξιομνημόνευτα μάλιστα εἶναι νομίζω, διηγήσομαι. Τοῦτο μὲν γάρ, ἐς σπήλαιόν τις τὸν δεσπότην[4] κατακρύψας, εἶτ' ἐπειδὴ καὶ[5] ὡς καθ' ἑτέρου τινὸς μήνυσιν ἀπολεῖσθαι ἔμελλε, τήν τε ἐσθῆτα πρὸς αὐτὸν ἠλλάξατο, καὶ μετ' αὐτῆς τοῖς ἐπιοῦσιν, ὡς καὶ αὐτὸς ἐκεῖνος ὤν, προαπήντησε, καὶ ἐσφάγη[6]· καὶ οὕτως οἱ μὲν ἀπετράποντο, νομίσαντες[7] ὃν ἐβούλοντο πεφονευκέναι, ὁ δὲ, ἀπελθόντων
R.p.498. αὐτῶν, ἑτέρωσε διέφυγε. Τοῦτο δὲ, ἄλλος τις[8], τὴν σκευὴν ὁμοίως ἅπασαν πρὸς τὸν δεσπότην διαλλάξας, αὐτός τε ἐς φορεῖον κατάστεγον ἐσῆλθε, καὶ ἐκεῖνον διφροφορεῖν[9] ἐποίησε[10]· κἀκ τούτου καταληφθέντες, ὁ μὲν οὐδ' ὀφθεὶς ἐφονεύθη, ὁ δὲ, ὥς[11] τις σκευοφόρος, διεσώθη. Καὶ ταῦτα μὲν ἐκεῖνοι[12] ἐξ[13] εὐεργεσίας τινὸς προϋπαρχούσης σφίσι τοῖς εὖ ποιήσασιν ἀνταπέδοσαν· στιγματίας[14] δέ τις οὐχ

1. C, D, E, H : σωθῆναι πολλάκις γέ. — 2. C, F : καί.
3. F : ἕκαστα.
4. C : ὁ δεσπότην. — 5. B, C, D, E, F, H om.
6. Cf. Val. Maxime, VI, 8, Sénèque, des Bienfaits, III,25 ; Peir. : πραπηγῆσθαι ἐσφάγη.
7. Xiph. : νομίζοντες. — 8. C : τι.

pour amis, et que souvent même l'un s'efforçait de sauver celui que l'autre voulait perdre et de faire périr celui que l'autre voulait laisser vivre, il arriva une foule d'événements étranges, selon que les triumvirs avaient pour quelqu'un de la bienveillance ou de la haine.

10. Quant à moi, je ne m'arrêterai pas à les raconter tous en détail (ce serait me charger d'une tâche pénible et sans aucune utilité sérieuse pour cette histoire), je rapporterai seulement ceux que je crois le plus dignes de mémoire. Ici, c'est un esclave qui, ayant caché son maître dans une caverne, le voyant ensuite sur le point de périr par suite de la dénonciation d'un autre, change de vêtements avec lui, et, comme si c'eût été lui qui était le maître, va à la rencontre de ceux qui le poursuivaient, et se laisse égorger. Grâce à ce stratagème, ceux-ci s'en retournent persuadés qu'ils ont tué celui qu'ils voulaient, et, quand ils sont éloignés, le maître s'enfuit autre part. Là, c'est un autre esclave qui, ayant également changé en entier son costume pour celui de son maître, monte dans sa litière couverte et la lui fait porter; puis, quand ils sont arrêtés, l'esclave est tué sans même être vu et le maître échappe à la mort comme n'étant qu'un des porteurs. Voilà des dévouements d'esclaves pour leurs maîtres en retour de bienfaits qu'ils avaient reçus d'eux. Mais un esclave stigmatisé, loin de

9. C, D, H : διφρονεῖν. — 10. Plutarque, Vie de Marius, rapporte un trait semblable de fidélité d'un esclave pour son maître.

11. C, F : τις.

12. C : ἐκεῖνοις; Peiresc. : μὲν ἴσως ἐκεῖνος.

13. E om.

14. Cf. Val. Maxime VI, 8, 7. Peir. : στιματίας.

ὅσον οὐ προέδωκε τὸν στίξαντα[1], ἀλλὰ καὶ πάνυ προθύμως ἔσωσεν. Ὡς γοῦν ὑπεκκομίζων ποι αὐτὸν ἐφωράθη καὶ ἐδιώκετο, ἀπέκτεινέ τέ[2] τινα ἐντυχόντα οἱ κατὰ τύχην, καὶ τὴν στολὴν αὐτοῦ τῷ δεσπότῃ δοὺς, τὸν μὲν ἐπὶ πυρὰν ἐπέθηκεν, αὐτὸς δὲ τήν τε ἐσθῆτα καὶ τὸν δακτύλιον τοῦ δεσπότου λαβὼν, ἀπήντησε τοῖς διώκουσι· καὶ πλασάμενος ὡς καὶ φεύγοντα αὐτὸν ἀπεκτονὼς[3], ἐπιστεύθη[4] ἔκ τε τῶν σκύλων καὶ ἐκ τῶν στιγμάτων· καὶ ἐκεῖνόν τε ἅμα ἔσωσε, καὶ αὐτὸς ἐτιμήθη. Ταῦτα μὲν οὖν ἐς οὐδεμίαν ὀνόματος[5] μνήμην ἀνήκει· Ὁσίδιον[6] δὲ δὴ Γέταν ὁ υἱὸς, ἐκφορὰν δή τινα αὐτοῦ ὡς καὶ τεθνηκότος σκευάσας, ἐξέσωσε[7]· καὶ Κύϊντον[8] Κικέρωνα[9], τὸν τοῦ Μάρκου[10] ἀδελφὸν, ὁ παῖς ἐξέκλεψε καὶ, ὅσον ἐφ' ἑαυτῷ, ἔσωσεν. Αὐτὸς μὲν γὰρ καὶ κατέκρυψε τὸν πατέρα, ὥστε μὴ εὑρεθῆναι, καὶ στρεβλωθεὶς ἐπὶ τούτῳ πάσαις βασάνοις, οὐδὲν ἐξελάλησε· μαθὼν δὲ ἐκεῖνος τὸ γιγνόμενον, καὶ θαυμάσας τε ἅμα τὸν παῖδα καὶ ἐλεήσας, ἦλθεν ἐθελοντὴς ἐς τὸ ἐμφανὲς, καὶ αὐτὸς ἑαυτὸν[11] τοῖς σφαγεῦσι παρέδωκεν.

11. Ἀρετῆς μὲν δὴ[12] καὶ εὐσεβείας τοσαῦτα τότε[13] ἐπιφανῆ ἔργα ἐγένετο· Ποπίλιος[14] δὲ δὴ Λαινᾶς[15] τὸν Κικέρωνα τὸν Μάρκον ἀπέκτεινε, καίπερ εὐεργέτην αὐτοῦ ἐκ

1. Xiph. : τὸν δεσπότην τὸν στίξαντα, « quod forte Dionis etiam fuit, dit Reimarus, siquidem et Zonaras τὸν στίξαντα αὐτὸν δεσπότην habet. Sed is rem paulo aliter exponit his verbis : ὡς γὰρ συναπεδίδρασκε τῷ δεσπότῃ, καὶ διώκεσθαι ἔγνω, ἀπέκτεινε, etc. »

2. Peir. : ἀπέκτεινέν τε. — 3. D : ἀποκτοναὼς. — 4. Peir. om.

5. Peir. : ὀνόματα. — 6. A, B, D, E, F, G, H, I, K : Ὀσιαῖον ; Coislin :

trahir l'auteur de ses stigmates, prit un soin tout particulier pour le sauver. Tandis qu'il l'emmenait secrètement, il avait été vu et on le poursuivait; l'esclave alors tue un homme qu'il rencontre par hasard, et met sur un bûcher le cadavre, dont il donne la toge à son maître; lui-même, avec les vêtements et l'anneau de son maître, va au-devant de ceux qui le poursuivaient, et, feignant d'avoir tué son maître qui s'enfuyait, il réussit à se faire croire en leur montrant les dépouilles et les stigmates : il sauva son maître et en même temps fut comblé d'honneurs. Il n'a survécu aucun souvenir du nom des auteurs de ces actions. Hosidius Géta dut la vie à son fils qui célébra publiquement ses funérailles comme s'il eût été mort; Quintus Cicéron, frère de Marcus, fut dérobé à tous les regards par son fils et sauvé par lui, en tant du moins qu'il fut au pouvoir de l'enfant. Le fils, en effet, cacha le père si bien qu'on ne put le trouver, et la question, à laquelle on l'appliqua ne put, malgré toutes les tortures, lui arracher aucun aveu ; mais le père, instruit de ce qui se passait et plein à la fois d'admiration et de compassion pour le fils, se montra volontairement aux yeux de tous et se livra lui-même aux meurtriers.

11. Voilà jusqu'ici d'illustres exemples de vertu et de piété qui se produisirent à cette époque. Au contraire, Popilius Lænas tua Marcus Cicéron qui pourtant

όσία; Peiresc. : Ὁσίλιον. — 7. Peiresc. : ἐξέωσεν. — 8. Peir. : Κύντον.
9. G : Κικέρωνα (*sic*), correction d'une autre main.
10. Xiph. ajoute : τοῦ ῥήτορος. — 11. Peir. om. — 12. D, G om.
13. Peir. om.; G : τοσαῦτά τε. — 14. Xyl., Reim., Sturz et Bekk.; vulg. et A, D, G, I, K et Peir. : Πόπλιος; F : Πούπλιος. — 15. Peir. om. : δὲ δὴ Λαινᾶς.

συνηγορήματος ὄντα[1], καὶ ἵνα γε μὴ ἀκουόμενος μόνον, ἀλλὰ καὶ ὁρώμενος, πίστιν τοῦ πεφονευκέναι αὐτὸν λάβῃ, εἰκόνα ἑαυτοῦ πλησίον τῆς ἐκείνου κεφαλῆς ἐστεφανωμένην[2] ἔθηκε, καὶ τὸ ὄνομα καὶ τὸ ἔργον αὐτοῦ ἐπιγεγραμμένον ἔχουσαν. Καὶ οὕτω γε καὶ[3] τῷ Ἀντωνίῳ διὰ τοῦτ' ἤρεσεν[4], ὥστε καὶ χρήματα πλείω τῶν ἐπηγγελμένων λαβεῖν[5]. Μάρκος δὲ Τερέντιος Οὐάῤῥων[6] ἠδίκησε μὲν
R.p.499. οὐδέν, ὁμώνυμος δὲ δή τινι τῶν ἐπικεκηρυγμένων, πλὴν μιᾶς προσηγορίας, ὢν[7], καὶ δείσας μή τι κατὰ τοῦτο, οἷα καὶ ὁ Κίννας[8], πάθῃ, ἐξέθηκε γράμμα[9] αὐτὸ τοῦτο δηλοῦν[10]· ἐδημάρχει δέ. Καὶ ὁ μὲν διατριβὴν καὶ γέλωτα ἐπὶ τούτῳ ὠφλίσκανε· τὸ δὲ δὴ ἀστάθμητον τοῦ βίου καὶ ἐξ ἐκείνου ἐτεκμηριώθη, ὅτι Λούκιος μὲν Φιλούσκιος, ὑπό τε τοῦ Σύλλου πρότερον ἐπικηρυχθεὶς, καὶ διαφυγὼν, ἔς τε τὸ λεύκωμα αὖθις[11] τότε ἐσεγράφη, καὶ ἀπέθανε· Μάρκος δὲ Οὐαλέριος Μεσσαλᾶς[12], ὑπὸ τοῦ Ἀντωνίου θανατωθεὶς, οὐχ[13] ὅπως ἐν ἀσφαλείᾳ διεβίω, ἀλλὰ καὶ ὕπατος ἀντ' αὐτοῦ ἐκείνου[14] ὕστερον ἀπεδείχθη. Οὕτως ἔκ τε τῶν ἀπορωτάτων πολλοὶ περιγίγνονται, καὶ ἐκ τῶν θαρ-

1. Cf. Plutarque et Appien, IV, 20. — 2. Au rapport d'Appien, Antoine était assis sur son tribunal, quand Lænas vint lui apporter la tête et la main de Cicéron qu'il agitait de loin pour les lui faire voir. Peir. : ἐσταφανομένην. — 3. F om. — 4. Peir. : διὰ ταῦτα ἤρεσεν. — 5. Antoine lui donna une couronne, et lui fit, d'après Appien, compter 250,000 drachmes, somme double de celle que recevaient les autres meurtriers.

6. Coislin : Οὐάρων. — 7. Reimarus croit qu'il s'agit ici d'un agnom passé par Dion ; car il avait un nom et un surnom communs avec M. Térentius Varron, l'illustre grammairien, que Calénus (cf. Appien, IV, 47) sauva pendant les proscriptions en le cachant dans sa villa. Un autre Varron, suivant l'expression de Vell. Paterculus, II, 71, « ad ludibrium

était devenu son bienfaiteur en le défendant en justice, et, comme si ce n'eût pas été assez de la renommée et qu'il eût aussi fallu la vue pour confirmer qu'il était l'auteur de ce meurtre, il plaça près de la tête de Cicéron son buste avec une couronne et une inscription relatant son nom et son action. Il se rendit par là tellement agréable à Antoine que celui-ci lui donna une somme plus forte que celle qui avait été promise. M. Térentius Varron n'était coupable d'aucune offense ; mais comme son nom était, à un seul prénom près, le même que celui d'un des proscrits, et qu'il craignait, par suite de cette ressemblance, d'éprouver le sort de Cinna, il fit poser une affiche pour en donner avis : il était alors tribun du peuple. Par là il se rendit l'objet des entretiens et des railleries de tout le monde. Mais voici un exemple qui témoigne bien de l'instabilité de la vie : L. Philuscius, dont la tête avait été autrefois mise à prix par Sylla et qui avait alors échappé au péril, fut inscrit de nouveau sur les tables de proscription et fut tué, tandis que M. Valérius Messala, quoique condamné à mort par Antoine, non-seulement vécut en sûreté, mais même fut, dans la suite, créé consul à sa place. Ainsi, beaucoup se tirent sains et saufs des circonstances les plus difficiles, tandis que beaucoup périssent de ceux qui étaient

moriturus Antonii, digna illo ac vera de exitu ejus magna cum libertate ominatus est. » — 8. Cf. XLIV, 52. — 9. F om. — 10. Bekk.; vulg. : δηλῶν. — 11. F : ἐς τὸ λεύκωμα αὖθις. — 12. Appien, V, 112 et 113, raconte en détail que ce M. Valérius Messala Corvinus s'enfuit vers Brutus et Cassius, et, après leur mort, livra la flotte à Antoine en vertu d'un traité ; qu'ensuite il reçut et rétablit César, réduit à une situation critique par la flotte de Sextus Pompée.

13. Vulg. et D, H : θανωθεὶς ἂν οὐχ ; dans I, ἄν est en marge avec renvoi.

14. B, F, G et Bekk. ; vulg. et les autres mss. : ἐκείνου αὐτοῦ. Messala fut consul l'an de Rome 723, l'année même de la bataille d'Actium, avec Octave. Cf. L., 10, et Appien, IV, 38.

σούντως[1] ἐχόντων οὐκ ἐλάττους ἀπόλλυνται· καὶ διὰ τοῦτο χρὴ μήτε ἐς τὸ ἀνέλπιστον πρὸς τὰς[2] αὐτίκα συμφορὰς ἐκπλήττεσθαί τινα, μήτε ἐς τὸ ἀφρόντιστον ὑπὸ τοῦ παραχρῆμα περιχαροῦς ἐπαίρεσθαι, ἀλλ' ἐς τὸ μέσον ἐπ' ἀμφότερα τὴν ἐλπίδα τοῦ μέλλοντος τιθέμενον, ἀσφαλεῖς ἐφ' ἑκάτερα τοὺς λογισμοὺς ποιεῖσθαι[3].

12. Καὶ τότε γοῦν[4] ταῦτά τε οὕτως ἐγένετο, καὶ πλεῖστοι μὲν τῶν μὴ προγραφέντων διά τε ἔχθραν καὶ διὰ χρήματα παραπώλοντο[5], πλεῖστοι δὲ τῶν ἐπικηρυχθέντων οὐχ ὅτι περιεγένοντο, ἀλλὰ καὶ κατῆλθον αὖθις, καί τινες[6] καὶ[7] αὐτῶν καὶ ἀρχὰς ἔσχον. Ἡ δ' ἀναχώρησις σφίσι πρός τε τὸν Βροῦτον, καὶ πρὸς τὸν Κάσσιον, τόν τε Σέξτον ἐγίγνετο[8]. Καὶ οἵ γε[9] πλείους πρὸς τοῦτον συγκατέφυγον[10]· ναυαρχεῖν τε γὰρ πρότερον αἱρεθεὶς[11], καὶ χρόνον τινὰ ἐν τῇ θαλάσσῃ δυνηθείς, ἰσχύν τε οἰκείαν, καίπερ τῆς ἀρχῆς μετὰ τοῦθ' ὑπὸ τοῦ Καίσαρος ἀποστερηθείς[12], περιεβάλετο[13]· καὶ τὴν Σικελίαν κατασχὼν[14], ἔπειθ' ὡς καὶ ἐκείνῳ ἐπεκηρύχθη[15], αἵ τε ἄλλαι[16] σφαγαὶ ἐγίγνοντο, πλεῖστον τοῖς ὁμοίοις συνήρατο. Τῇ γὰρ Ἰταλίᾳ ἐγγύθεν ἐφορμῶν, διέπεμπεν ἔς τε[17] τὴν Ῥώμην καὶ ἐς τὰς ἄλλας

1. G : ἐκ τῶν σούντως (*sic*). — 2. E om. — 3. D : ἐφ' ἑκατέρα τοὺς λογισμοὺς ἀσφαλεῖς ποιεῖσθαι.

4. B, F, et Bekk. ; vulg. : οὖν. — 5. C : ἀπώλοντο. — 6. G : καί τινας.

7. D, G et Bekk. ; vulg. om. — 8. Beaucoup aussi se réfugièrent en Afrique auprès de Cornificius, comme nous l'apprend Appien, IV, 36.

9. A, D, F, G, I : γε. — 10. Xiph. : κατέφυγον ; B : οὐ κατέφυγον.

11. Cf. XLVI, 40. — 12. A et Bekk. ; vulg. : στερηθείς. — 13. B : περιεβάλετο.

14. Ce n'était pas seulement la Sicile, mais encore la Sardaigne (cf.

pleins d'assurance ; ce qui montre bien qu'il ne faut ni se laisser abattre, en présence d'un malheur subit, au point de perdre toute espérance, ni se laisser emporter à des sentiments insensés par l'excès d'une joie inattendue, mais, prenant pour intermédiaire dans les deux cas l'attente de l'avenir, rester ferme dans l'une comme dans l'autre fortune.

12. Voilà comment se passèrent les choses ; en outre, beaucoup, qui n'étaient pas proscrits, furent tués à cause d'inimitiés privées ou bien à cause de leurs richesses, comme aussi un grand nombre de ceux dont la tête fut mise à prix non-seulement survécurent, mais rentrèrent par la suite dans leurs foyers ; quelques-uns même furent revêtus de magistratures. Les proscrits se retirèrent auprès de Brutus et de Cassius, ou bien auprès de Sextus. La plupart se réfugièrent auprès de ce dernier : choisi d'abord pour commander la flotte et ayant joui quelque temps de la puissance maritime, il s'était, bien que dépouillé plus tard de ce commandement par César, acquis des forces personnelles, et, maître de la Sicile, lorsque ensuite il fut lui-même proscrit à son tour, il rendit, pendant que durèrent les massacres, des services signalés à ceux qui étaient en butte à la même fortune que lui. Stationnant près de l'Italie, il envoya à

XLVIII, 2 et 17), qui étaient occupées par Sextus. — 15. Leuncl. voudrait corriger ὡς καὶ ἐκεῖνος ἐπεκηρύχθη ; mais Reim. fait observer avec raison que Zonaras porte ἐκείνῳ et Xiphilin αὐτῷ ; que d'ailleurs cette construction est grecque et familière à Dion et à Xiphilin ; que le verbe ἐπικηρύσσειν à l'actif, s'employant avec le datif de la personne et l'accusatif de la chose (χρήματα, θάνατον ἐπικηρύσσειν τινί), il faut ici, avec le passif, sous-entendre le nominatif θάνατος.

16. D : αἵ τε ἄλλα. — 17. C, F, Sturz et Bekk. ; vulg. om.

πόλεις, τά τε ἄλλα καὶ [1] τοῖς τινα περισώσασι διπλάσια
R.p.500. τῶν τοῖς φονεύσουσι προκειμένων, ἐπαγγελλόμενος [2], καὶ αὐτοῖς ἐκείνοις καὶ ὑποδοχὴν καὶ ἐπικουρίαν καὶ χρήματα καὶ τιμὰς ὑπισχνούμενος. Ὅθεν περ συχνοὶ πρὸς αὐτὸν ἦλθον.

13. Ἀριθμὸν γὰρ οὔτε τῶν προγραφέντων, οὔτε τῶν φονευθέντων, ἢ καὶ διαφυγόντων, οὐδὲ νῦν ἔγραψα [3]· ὅτι πολλοὶ μὲν τῶν [4] τὸ πρῶτον ἐς τὰ λευκώματα ἐγγραφέντων ἀπηλίφησαν [5], πολλοὶ δὲ [6] ὕστερον ἀντ' αὐτῶν ἐνεγράφησαν [7]· καὶ τούτων τε [8] οὐκ ὀλίγοι διεσώθησαν, καὶ ἄλλοι συχνοὶ διεφθάρησαν. Καὶ αὐτοὺς οὐδὲ πενθεῖν τισιν ἐξουσία ἦν [9], ἀλλὰ πολλοὶ καὶ ἐκ τούτου παραπώλοντο. Καὶ τέλος, ὡς τό τε πεπλασμένον αὐτῶν πᾶν αἱ συμφοραὶ [10] ἐξενίκων, καὶ οὐδεὶς οὐδὲ τῶν πάνυ ἀνδρικῶν ἀντικαρτερεῖν πρὸς αὐτὰς [11] ἐδύνατο, ἀλλ' ἔν τε τοῖς ἄλλοις πᾶσι [12] καὶ ἔργοις καὶ λόγοις ἐσκυθρώπαζον, καὶ ἐν τῇ ἀρχῇ τοῦ ἔτους, οὐκ [13] ἔμελλον, ὥσπερ εἰώθασιν, ἑορτάσειν [14], ἐκελεύσθησαν διὰ προγραφῆς εὐθυμεῖσθαι, θάνατον

1. Correction de Reiske, adoptée par Bekk.; Sturz la préfère à celle de Leuncl., qui propose de lire un peu plus loin : καὶ διπλάσια; vulg. om.

2. Cf. Appien, IV, 36. — 3. Dans le récit des proscriptions de Sylla, Dion a de même passé sous silence ces minuties. — 4. D, H om.

5. E : ἀπειλήφεσαν; Sturz : « Illud Reiskius emendat ἀπηλείφθησαν, vel ἀπηλείφησαν in aoristo secundo pass. verbi ἀπαλείφειν. Atque hoc recepi, sed ita ut ἀπηλίφησαν scripserim. Cf. Lobeckii Parerga ad Phrynichum, p. 572. » Avec Bekk., j'ai adopté la leçon de Sturz.

6. Dans G, les mots ἐς τὰ λευκώματα... πολλοὶ δέ sont en marge et d'une autre main. — 7. C, D, E, H om. : πολλοὶ δὲ ὕστερον... ἐνεγράφησαν; c'est Gron. qui a, le premier, d'après A, comblé cette lacune; B et K portent ἀντενεγράφησαν. — 8. Bekk.; vulg. : τε.

Rome et dans toutes les villes offrir, entre autres avantages, à ceux qui sauveraient un proscrit le double de la récompense proposée aux meurtriers et promettre aux proscrits eux-mêmes retraite, assistance, argent et honneurs. Aussi beaucoup vinrent-ils à lui.

13. Quant au chiffre, je ne rapporte, aujourd'hui encore, ni celui de ceux qui furent proscrits, ni celui de ceux qui furent tués ou qui échappèrent par la fuite, attendu que beaucoup de ceux qui, dans le premier moment, avaient été inscrits sur les listes, en furent effacés, et que beaucoup d'autres y furent, dans la suite, inscrits à leur place; que, parmi ceux-ci, un assez grand nombre furent sauvés et que d'autres, également en assez grand nombre, furent tués. Il n'était permis à personne de pleurer, et plusieurs moururent pour l'avoir fait. A la fin, comme la calamité était plus forte que toute dissimulation, et que personne, même les plus courageux, ne pouvait y résister, une sombre tristesse éclata partout, et dans les actions et dans les paroles; et même les fêtes ordinaires du commencement de l'année n'auraient pas été célébrées sans un édit qui or-

9. Cicéron, contre Pison, 8 : « Quis hoc fecit ulla in Scythia tyrannus, ut eos, quos luctu afficeret, lugere non sineret? » Sénèque, Consolation à Octavie, parlant de cette proscription : « Flere non licuit suos, non gemere, dira tabe polluto foro, stillante sanie per putres vultus gravi, etc. »

10. G : αἱ σφοραί, et, en marge d'une autre main, ὑμ. — 11. F : αὐτά.

12. G : ἄλλοις πᾶσι pour ἀλλ' ἔν τε τοῖς ἄλλοις πᾶσι.

13. Bekk.; vulg. : οὔ; Reiske proposait ᾗ ou ἦν, parce que, dit-il, « non annum, sed initium anni solebant ἑορτάζειν, *festa hilaritate celebrare.* » Sur ces fêtes, cf. Ovide, Fastes, I; et sur le fait historique, Appien, IV, 11. Ἔμελλον, qui suit, est une correction de Sturz, adoptée par Bekk.; vulg. : ἤμελλον.

14. Cf. Appien, IV, 31.

ὀφλήσοντες[1] ἂν μὴ πειθαρχήσωσιν[2]· οὕτω που, ὡς καὶ[3] ἐπ' ἀγαθοῖς, τοῖς κοινοῖς κακοῖς χαίρειν ἠναγκάζοντο[4]. Καὶ τί τοῦτο εἶπον, ὁπότε καὶ ἐκείνοις (τοῖς τρισὶν ἀνδράσι λέγω) ἄλλα τε, ὡς εὐεργέταις[5] καὶ σωτῆρσι τῆς πόλεως γεγονόσι, καὶ τοὺς στεφάνους τοὺς πολιτικοὺς ἐψηφίσαντο; Οὐ γὰρ, ὅτι τινὰς ἐφόνευον, αἰτίαν ἔχειν ἠξίουν, ἀλλ' ὅτι μὴ πλείονας προσεπαινεῖσθαι ἤθελον. Καὶ πρός γε τὸν δῆμον φανερῶς ποτὲ[6] εἶπον, ὅτι οὔτε τὴν τοῦ Μαρίου τοῦ τε Σύλλου ὠμότητα, ὥστε καὶ μισηθῆναι, οὔτ' αὖ τὴν[7] τοῦ Καίσαρος ἐπιείκειαν[8], ὥστε καὶ καταφρονηθῆναι, καὶ ἀπ' αὐτοῦ καὶ ἐπιβουλευθῆναι, ἐζηλώκασι Τοιαῦτα μὲν περὶ τὰς σφαγὰς ἐγίγνετο.

14. Πολλὰ δὲ δὴ καὶ ἄτοπα[9] καὶ περὶ τὰς τῶν ἄλλων οὐσίας συνέβαινε. Καίτοι ταῖς τε[10] γυναιξὶ ταῖς τῶν φονευομένων τὰς προῖκας, καὶ τοῖς τέκνοις τοῖς μὲν ἄρρεσι τὸ δέκατον, ταῖς δὲ θηλείαις τὸ εἰκοστὸν τῆς ἑκάστου σφῶν οὐσίας δώσειν, ὡς καὶ δὴ δίκαιοι φιλάνθρωποί τε ὄντες[11], ἐπηγγείλαντο. Ἀλλ' οὔτε ταῦτα πλὴν ὀλίγων[12] ἐδόθη, τά τε τῶν λοιπῶν καὶ πάνυ πάντα[13] ἀδεῶς ἐπορθεῖτο. Τοῦτο μὲν γὰρ, ἐνοίκιον[14] ἐνιαύσιον πασῶν τῶν τε ἐν τῷ ἄστει καὶ τῶν ἐν τῇ ἄλλῃ Ἰταλίᾳ[15] οἰκιῶν, ὧν μὲν

1. D : ὀφλήσαντες. — 2. A, G, K : πιθαρχήσωσι. — 3. C om.

4. Allusion à la formule ordinaire des décrets *Quod felix, faustumque sit*, que les triumvirs (cf. Appien, IV, 11) avaient mise en tête de leur édit de proscription.

5. D : εὐεργέτας. — 6. E : τότε.

7. G : οὔτ' αὐτήν.

donna de se livrer à la joie, avec peine de mort contre quiconque n'obéirait pas. C'est ainsi que les Romains étaient forcés de se réjouir des maux publics comme d'un bonheur. Mais à quoi bon rapporter ces détails, quand, entre autres honneurs, on leur décerna (je dis aux triumvirs) des couronnes civiques comme ayant été les bienfaiteurs et les sauveurs de la ville? Car non-seulement ils prétendaient ne pas être accusés pour avoir tué quelques citoyens, mais ils voulaient être loués pour n'en avoir pas tué davantage. Ils allèrent même jusqu'à dire un jour ouvertement au peuple qu'ils n'imitaient ni la cruauté de Marius et de Sylla, afin de ne pas être haïs, ni la clémence de César, afin de ne pas être méprisés et, par suite, en butte à des complots. Voilà ce qui se passa durant les massacres.

14. Quant aux biens des citoyens, il se passa une foule de choses qui n'ont pas de nom. Ils promirent de donner aux femmes de ceux qui avaient été tués leur dot; aux enfants mâles, le dixième; aux filles, le vingtième des biens de chacun d'eux, afin de paraître justes et cléments. Mais, à très-peu d'exceptions près, cette portion ne fut même pas donnée, et tous les biens du reste des citoyens furent pillés impunément. Ici, ce fut un droit annuel d'habitation qu'ils exigèrent pour toutes les maisons dans Rome et dans les autres parties de l'Italie, savoir, une année entière pour celles

8. G : ἐπείκεια. — 9. Peiresc. : Ὅτι ἐπὶ Ἀντωνίου καὶ Ὀκταβίου καὶ σφαγαὶ, καὶ πολλὰ καὶ ἄτοπα.

10. Peiresc. om.; Reiske : ταῖς γάρ τε.

11. Peiresc. : καὶ δίκαιοι καὶ φιλάνθρωποι ὄντες.

12. Oddey propose de lire ὀλίγοις. — 13. Peiresc. : πάντα πάνυ; E : πάντα πάντα. — 14. F : ἐνίκιον; C : ἐννίκιον. — 15. Peiresc. : ἄστει καὶ τῇ Ἰταλίᾳ.

ἐμεμισθώκεσάν τινες, ὅλον, ὧν δὲ αὐτοὶ[1] ᾤκουν, ἐξ ἡμισείας πρὸς τὴν τῆς καταγωγῆς ἀξίαν, ἐσέπραξαν· τοῦτο δὲ, τοὺς τὰ χωρία ἔχοντας τὸ ἥμισυ τῶν προσόδων αὐτῶν
R. p. 501. ἀφείλοντο. Καὶ προσέτι καὶ τοὺς στρατιώτας τήν τε[2] τροφὴν παρὰ τῶν πόλεων, ἐν αἷς ἐχείμαζον, προῖκα λαμβάνειν ἐποίησαν, καὶ κατὰ τὴν χώραν, ὡς ἐπὶ τὰ δεδημευμένα, τά τε τῶν ἀνθισταμένων ἔτι, διαπέμποντες (καὶ γὰρ ἐκείνους, ὅτι μὴ ἐντὸς τῆς προῤῥηθείσης σφίσιν ἡμέρας[3] μετέστησαν[4], πολεμίους ἐποιήσαντο), πάντα καὶ τὰ λοιπὰ[5] προσδιήρπαζον[6]. Ἵνα γὰρ καὶ πρὸ τῶν ἔργων τοὺς μισθοὺς ἔχοντες, πᾶν τὸ πρόθυμον σφίσι παρέχωνται, ταῦτά τε αὐτοῖς πράττειν ἐπέτρεπον[7], καὶ πόλεις χώρας τε δώσειν ὑπισχνοῦντο[8]· καὶ ἐπὶ τοῦτῳ[9] καὶ γεωνόμους ὁμοῦ, καὶ οἰκιστὰς αὐτοῖς[10] προσαπέδειξαν. Τὸ μὲν οὖν πλῆθος τῶν στρατιωτῶν τούτοις ἀνηρτῶντο· τῶν δὲ δὴ λογιμωτέρων τοὺς μὲν τοῖς κτήμασι τοῖς τῶν ἀπολλυμένων ἐδελέαζον, τὰ μὲν ἐπευωνίζοντες, τὰ δὲ καὶ προῖκα σφίσι χαριζόμενοι, τοὺς δὲ καὶ ταῖς ἀρχαῖς ταῖς τε ἱερωσύναις αὐτῶν ἐτίμων. Ὅπως γὰρ ἀδεῶς αὐτοί τε τὰ κάλλιστα[11] καὶ τῶν χωρίων καὶ τῶν οἰκοδομημάτων λαμβάνωσι, καὶ ἐκείνοις ὅσα βούλονται διδῶσι, προεῖπον, μηδένα τῶν ἄλλων

1. Peiresc. : δ' αὐτοί. — 2. Peiresc. om.
3. Peiresc. : σφίσι ἡμέρας.
4. Peiresc. : μετεστήσαντο.
5. Peiresc. : καὶ πάντα, au lieu de πάντα καὶ τὰ λοιπά.
6. F : προδιήρπαζον.
7. F : ἐπέτρεπε. Sur l'insolence des soldats pendant les proscriptions, cf. Appien, IV, 35.

qui étaient occupées par des locataires, et un semestre pour celles qui l'étaient par leurs propriétaires eux-mêmes, d'après l'estimation des édifices; là, ce fut une moitié de leurs revenus qu'ils prirent à ceux qui possédaient des terres. De plus, ils firent fournir gratuitement des vivres aux troupes par les villes dans lesquelles elles étaient en quartiers d'hiver, et, avec les soldats qu'ils envoyaient de côté et d'autre par tout le territoire comme dans des biens confisqués et appartenant à des gens qui leur résistaient encore (les habitants, en effet, pour ne leur avoir pas cédé au jour fixé étaient réputés ennemis publics), ils enlevaient tout ce qui restait. Car, afin d'avoir, en leur donnant à l'avance la récompense de leurs services, les soldats à leur dévotion, les triumvirs leur permirent cette licence, promirent de leur accorder des villes et des terres et leur nommèrent à cet effet des chefs pour partager les terres et fonder des villes. Ils s'attachaient par ces mesures la masse des soldats; quant aux principaux, ils prenaient les uns par l'appât des biens de ceux qui étaient tués, tantôt les leur vendant à vil prix, tantôt les leur donnant pour rien; les autres, ils les revêtaient des magistratures et des sacerdoces de leurs victimes. En effet, afin de s'emparer eux-mêmes impunément des plus belles terres et des plus belles maisons, et de donner aux soldats tout ce qu'ils voudraient, ils firent défense à tout

8. C, D : καὶ πόλεις τε χώρας ὑπισχνοῦντο.

9. F : τοῦτο.

10. Correction marginale de Leuncl. adoptée par Reim., Sturz et Bekk. : « Ne enim, dit Reimarus, αὐτοὺς, ipsos milites, dividundis agris et condendis urbibus præfectos putes, obstat, quod de gregariis militibus hic sermo. » Vulg. et A, B, D, E, F, H, K : αὐτούς.

11. C : μάλιστα.

μὴ ὠνησείοντα [1] ἐς τὸ πρατήριον ἁπαντᾷν· εἰ δὲ μὴ, τεθνήξειν [2] τὸν τοῦτο ποιήσαντα. Καὶ ἐκείνους γε οὕτω μετεχειρίζοντο, ὥστε τι καταφωρᾶν [3] καὶ πλείστου ὅσου ἀγοράζειν, ὧν ἔχρηζον, καὶ διὰ τοῦτο μηδ' ὠνητιᾶν ἔτι.

15. Περὶ μὲν οὖν τὰ κτήματα τοῦθ' οὕτως ἐγίγνετο· τὰς δὲ [4] ἀρχὰς τάς τε ἱερωσύνας τῶν θανατωθέντων οὐ πρὸς τὸ νομιζόμενον ἐκ τῶν νόμων, ἀλλ' ὥς που καὶ ἔδοξεν αὐτοῖς, διέδοσαν [5]. Καὶ ὑπάτους [6], τοῦ μὲν Καίσαρος τὴν ἀρχὴν ἀπειπόντος [7] (ἧς γὰρ οὕτως ἐπεθύμησεν, ὥστε καὶ πολεμῆσαι δι' αὐτὴν [8], ταύτης ἐκὼν ἐξέστη) [9], τοῦ δὲ συνάρχοντος αὐτοῦ μεταλλάξαντος [10], ἄλλον τέ τινα [11] καὶ τὸν Οὐεντίδιον τὸν Πούπλιον, καίπερ στρατηγοῦντα, ἀπέδειξαν· ἔς τε τὴν στρατηγίαν αὐτοῦ τῶν ἀγορανομούντων τινὰ ἐσήγαγον· καὶ πάντας μετὰ τοῦτο τοὺς στρατηγοὺς, πέντε ἡμέρας ἔτι ἄρχοντας [12] παύσαντες, ἐκείνους μὲν ἐς τὰς [13] ἡγεμονίας τῶν ἐθνῶν ἔστειλαν, ἑτέρους δὲ ἀντ' αὐτῶν [14] ἀντικατέστησαν. Νόμους τε τοὺς μὲν ἀπέλειψαν,

1. Cf. Appien, IV, 31. Sturz : « Forte ὠνητιῶντα. Nam activum ὠνέω, ὠνήσω in usu non fuit. Pierson. ad Mœrid., p. 14. Sane paulo post est ὠνητιᾶν. » Mais Dion s'est-il nécessairement servi du même verbe dans les deux endroits? — 2. Vulg. : μή γε θνήσκειν; B, F : μή γε θνήσειν.

3. Cf. Appien, IV, 31. Ce passage a beaucoup exercé les interprètes. Xyl., qui traduit *quæ licitati essent*, croit avec raison ce passage altéré. Leuncl., approuvé par Penzel, défend la leçon des mss., et traduit : *ut aliquid eorum invenirent, quibus ipsis opus esset ; idque pretio illi maximo compararent ;* Reim. traduit dans le même sens; Wagner lit ὥστ' εἴ τι καταφωρῷεν; Reiske propose de lire : ὥστε καὶ τοὺς πλουσίους ἅμα καταφωρᾶν, καὶ ὅσου πλείστου αὐτοὺς ποιεῖν ἀγοράζειν. Si l'on adoptait cette restitution, il n'y aurait pas de raison pour s'arrêter dans cette voie. Il n'est pas impossible qu'il y ait lacune, mais pour la remplir il faudrait autre chose que des conjectures. Je traduis comme s'il y avait

autre d'approcher de la haste sans acheter, sous peine de mort pour le contrevenant. Quant aux acheteurs, on s'arrangeait de façon à leur faire voir des choses dont ils avaient besoin, pour les forcer d'acheter au prix le plus élevé et leur faire ainsi passer l'envie des achats.

15. Voilà comment les choses se passaient pour les terres; quant aux magistratures et aux sacerdoces de ceux qui étaient mis à mort, les triumvirs les distribuaient non pas d'après les prescriptions des lois, mais suivant leur bon plaisir. César ayant abdiqué le consulat (après s'être montré désireux de cette magistrature au point de faire la guerre pour l'obtenir, il en sortit de son plein gré), et son collègue étant mort, ils nommèrent consuls un autre citoyen et P. Ventidius, bien qu'il fût alors préteur, et mirent préteur en sa place un des édiles; ensuite, destituant les autres préteurs, qui avaient encore cinq jours à exercer leur charge, ils les envoyèrent gouverner des provinces et en établirent d'autres à leur place. Ils abolirent aussi

καταφορᾷν, sans toutefois me dissimuler ni que ce verbe ne se trouve pas dans les Lexiques (il est régulièrement composé, et la pureté de Dion n'est pas, à beaucoup près, irréprochable), ni que le sens est encore bien loin d'être satisfaisant : seulement, c'est ce qui rapproche le plus de la leçon des mss.

4. Leuncl. et Bekk.; vulg. : τε. — 5. A, B, G et Bekk.; vulg. : ἔδοσαν.

6. Bekk. : ὑπάτους τε. — 7. A, F : ἀπειπόντες.

8. Cf. XLVI, 42 et suiv. Leçon de Bekk.; vulg. : διὰ ταύτην.

9. C'était, suivant Appien, IV, 2, une convention entre les triumvirs que César céderait à Ventidius le consulat pour le reste de l'année.

10. Cf. XLVI, 46. — 11. Reimarus, note 57 : « In Collotiona tabula consulum collega P. Ventidio datur *C. Carrinas, C. F.* »

12. Leuncl. : ἄρξοντας, correction inutile; Thucydide, II, 2 : Πυθοδώρου ἔτι δύο μῆνας ἄρχοντος. — 13. G : τῆς. — 14. D : ἑτέρους δ' ἀντ' αὐτῶν.

τοὺς δὲ ἀντενέγραψαν. Καὶ συνελόντι εἰπεῖν, καὶ τἆλλα πάντα ὅπως ποτὲ καὶ[1] ἐδόκει αὐτοῖς ἔπρασσον· τῶν μὲν γὰρ ἐπικλήσεων τῶν ἐπιφθόνων, καὶ διὰ τοῦτο καταλυθεισῶν, οὐκ ἀντεποιήσαντο, τὰ δὲ δὴ πράγματα πρός τε τὸ βούλημα καὶ πρὸς τὸ ἐπιθύμημα τὸ ἑαυτῶν διῆγον, ὥστε χρυσὸν[2] τὴν τοῦ Καίσαρος μοναρχίαν φανῆναι. Τὸν μὲν οὖν ἐνιαυτὸν ἐκεῖνον ταῦτά τε οὕτως ἐποίησαν, καὶ νεὼν τῷ τε Σαράπιδι[3] καὶ τῇ Ἴσιδι ἐψηφίσαντο.

R.p.502. 16. Τοῦ δὲ[4] δὴ Λεπίδου τοῦ Μάρκου τοῦ τε Πλάγκου τοῦ Λουκίου ὑπατευσάντων, λευκώματα[5] αὖθις[6] ἐξετέθη, θάνατον μὲν μηδενὶ ἔτι φέροντα, τὰς δὲ οὐσίας τῶν ζώντων ἀποσυλῶντα. Προσδεόμενοι γὰρ χρημάτων, ἅτε πολλὰ μὲν καὶ πολλοῖς στρατιώταις προοφειλήσαντες[7], πολλὰ δὲ καὶ ἐπὶ τοῖς γιγνομένοις δι' αὐτῶν δαπανῶντες, πολλῷ δὲ ἔτι πλείω ἐς τοὺς προσδοκωμένους πολέμους ἀναλώσειν νομίζοντες, ἠργυρολόγουν. Οὐ μὴν ἀλλὰ τὸ τῶν τελῶν[8], τῶν πρότερον μέν ποτε καταλυθέντων, τότε δὲ αὖθις ἐπαναχθέντων, ἢ καὶ ἐκ καινῆς προσκαταστάντων[9], τό τε τῶν συντελειῶν[10], ἃς πολλὰς μὲν ἐπὶ τῇ γῇ, πολλὰς δὲ καὶ ἐπὶ τοῖς οἰκέταις ἐπράττοντο, μετρίως πως τοὺς ἀνθρώπους ἐλύπει· τὸ δὲ δὴ τοὺς καὶ[11] ἐφ' ὁποσονοῦν ἔτι, οὐ μόνον[12] τῶν βουλευτῶν ἢ καὶ τῶν ἱππέων, ἀλλὰ καὶ

1. C, D, H om. — 2. Les mss., les édit. et Xiph. C'est le mot concret pour le mot abstrait; il n'est donc pas nécessaire, comme le voudrait Leuncl., de lire χρυσῆν. — 3. Cf. XL, 47. F : Σάραπι. — 4. F : τε.

5. Dans I, on lit en marge et de la même main : λευκώματα τὰ μετ'

plusieurs lois pour y en substituer d'autres. En un mot, ils agirent dans tout le reste suivant leur bon plaisir : sans prendre des titres devenus odieux et pour cette raison abolis, ils administrèrent les affaires d'après leurs volontés et leurs caprices, de telle sorte que la domination de César paraissait un siècle d'or. Voilà ce qu'ils firent cette année; de plus, ils décrétèrent un temple à Sérapis et à Isis.

16. Sous le consulat de M. Lépidus et de L. Plancus, de nouvelles tables furent affichées qui ne condamnaient plus personne à mort, mais qui dépouillaient de leurs biens ceux qui avaient conservé la vie; car, ayant besoin d'argent, devant beaucoup à beaucoup de soldats, dépensant beaucoup pour les actes qu'ils accomplissaient par leurs mains et prévoyant plus de dépenses encore pour les guerres auxquelles ils s'attendaient, ils se mirent à lever des contributions. Cependant les impôts auparavant abolis et alors rétablis ou ajoutés aux anciens, les contributions sans nombre qu'ils levaient et sur les terres et sur les esclaves, n'affligeaient pas encore trop les Romains : mais l'inscription sur ces tables de ceux qui, non-seulement parmi les sénateurs ou les chevaliers, mais même parmi les affranchis, avaient

An de Rome 712. M. Lépidus consul II, et L. Plancus consul I.

ἐξουσίας προστάγματα. — 6. Cf. XLVII, 3. — 7. Leuncl., Sturz et Bekk.; vulg. et les mss. : προσοφειλήσαντες. — 8. B, E, F, K : ἀλλὰ τὸ μὲν τῶν τελῶν, C : ἀλλὰ μὲν τελῶν. — 9. Cf. ch. 14. — 10. G om. : τό τε τῶν.
11. C om. — 12. C : μόνων.

τῶν ἐξελευθέρων, καὶ ἀνδρῶν ὁμοίως καὶ γυναικῶν, εὐποροῦντας ἐς λευκώματα ἐσγραφῆναι, καὶ δεκατείαν τινὰ καινὴν δεκατευθῆναι[1], σφόδρα πάντας ἠνίασε. Τῷ μὲν γὰρ λόγῳ τὸ δέκατον τῆς οὐσίας παρ' ἑκάστου σφῶν ἐπράχθη, ἔργῳ δὲ οὐδὲ τὸ δέκατόν τινι κατελείφθη[2]. Ἐπειδὴ γὰρ οὐ ῥητόν τι ἀργύριον πρὸς τὴν τῶν κτημάτων ἀξίαν ἐσενεγκεῖν ἐκελεύσθησαν, ἀλλ' ἐπ' αὐτοῖς αἱ τιμήσεις τῶν σφετέρων ἐγένοντο, κἀκ τούτου ὡς οὐκ ὀρθῶς αὐτὰ τετιμημένοι διεβάλλοντο, καὶ τὰ λοιπὰ προσαπώλλυσαν.

17. Εἰ δ' οὖν τινες τοῦτό πως διέφυγον, ἀλλ' ὑπό τε τῶν τάξεων[3] ἐς στενὸν κατακλειόμενοι, καὶ ἀργυρίου δεινῶς σπανίζοντες, πάντων καὶ αὐτοὶ τρόπον τινὰ ἀπεστεροῦντο. Καὶ μέντοι καὶ ἑτέρου τι τοιόνδε, βαρὺ μὲν καὶ ἀκοῦσαι, βαρύτατον δὲ πραχθῆναι, ἐγένετο· τῷ γὰρ βουλομένῳ σφῶν ἐδόθη, πάσης τῆς οὐσίας ἐκστάντι, τὸ τρίτον μετὰ ταῦτα αὐτῆς ἀπαιτῆσαι, τοῦτ' ἔστι μήτε τι[4] λαβεῖν, καὶ προσέτι[5] καὶ πράγματα σχεῖν. Ὁπότε γὰρ βίᾳ[6] τὰ δύο μέρη φανερῶς ἐσυλῶντο, πῶς ἂν τὸ τρίτον ἀπέλαθον, ἄλλως τε καὶ ἐλαχίστου αὐτῶν πωλουμένων; Τοῦτο μὲν γὰρ, πολλῶν ἅμα ἀποκηρυττομένων, καὶ τῶν ἀνθρώπων τῶν πλειόνων καὶ ἀχρύσων καὶ ἀναργύρων ὄντων, τῶν δὲ λοιπῶν μὴ τολμώντων, ὡς καὶ ἐχόντων τι, ἀγοράσαι, ἵνα μὴ καὶ ἐκεῖνο προσαπολέσωσιν, αἱ τιμαὶ ἀνεῖντο[7]· τοῦτο δὲ,

1. G : κατευθῆναι. — 2. C : παρελείφθη, et, en marge, κατελείφθη.
3. Reiske : συντάξεων.
4. A, F : τινα.

conservé un revenu quelque faible qu'il fût, la dîme que l'on exigeait d'eux, causaient à tout le monde une vive douleur. Car, bien qu'en apparence, ils ne prissent que le dixième du bien de chacun, en réalité, ils ne lui en laissaient même pas le dixième. En effet, au lieu d'imposer le payement d'une somme fixée d'après la valeur des propriétés, ils en faisaient faire l'estimation par les propriétaires eux-mêmes et tiraient de là un prétexte pour les accuser d'estimation mensongère et les spolier du restant.

17. Si quelques-uns parvenaient à y échapper, comme ils étaient réduits par les contributions à une gêne étroite et à une grande disette d'argent, ils se trouvaient, eux aussi, en quelque sorte dépouillés de tout. Voici encore une autre chose qui eut lieu, chose pénible à entendre, excessivement pénible à subir : on donna à qui le voulut la faculté de pouvoir, en cédant tout son bien, en réclamer le tiers, c'est-à-dire de ne rien recevoir du tout et en outre de s'attirer des tracas. Comment, en effet, lorsqu'on s'est laissé ouvertement arracher les deux tiers par force, recouvrer le troisième, surtout les ventes se faisant à vil prix? Car, d'un côté, le grand nombre de propriétés mises en vente à la fois, dans un moment où la plupart des citoyens n'avaient ni or ni argent et où le reste n'osait acheter, par crainte de perdre même le peu dont il paraîtrait possesseur, faisait

5. C, D, E, H om. : καὶ πρόσετι; dans F, ces mots sont en marge.

6. C : ὑπό τε γὰρ βιας (*sic*). — 7. B, F : ἀνεῖνται; A : ἀνεῖνται (*sic*).

τοῖς στρατιώταις πολὺ παρὰ τὴν ἀξίαν πάντα ἐπιπράσκετο. Ὥστε τῶν μὲν ἰδιωτῶν οὐδεὶς οὐδὲν, ὅ τι καὶ ἄξιον εἰπεῖν,
II.p.503. διεσώσατο· πρὸς γὰρ αὖ τοῖς ἄλλοις[1], ἔς τε τὸ ναυτικὸν οἰκέτας, εἰ καὶ μὴ εἶχόν τινες, ὠνούμενοί γε ἐδίδοσαν, καὶ τὰς ὁδοὺς οἰκείοις οἱ βουλευταὶ δαπανήμασιν ἐπεσκεύαζον. Μόνοι δὲ δὴ οἱ τὰ ὅπλα ἔχοντες ὑπερεπλούτησαν. Οὐδὲ γὰρ οὐδὲ ἐξήρκει σφίσιν οὔτε ἡ μισθοφορὰ[2], καίπερ ἐντελὴς[3] οὖσα· οὔτε αἱ ἔξωθεν ἐπιφοραὶ[4], καίτοι παμπληθεῖς γενόμεναι· οὐ τὰ ἄθλα τῶν φόνων, μέγιστα δὴ δοθέντα· οὐχ αἱ κτήσεις τῶν χωρίων, προικιμαῖαι[5] τρόπον τινὰ αὐτοῖς ὑπάρξασαι· ἀλλὰ καὶ[6] προσέτι οἱ μὲν τὰς οὐσίας τῶν τελευτώντων ὅλας[7] καὶ ᾔτουν καὶ ἐλάμβανον, οἱ δὲ καὶ ἐς τὰ τῶν ζώντων ἔτι γερόντων τε καὶ ἀτέκνων γένη ἐσεβιάζοντο. Ἐς τοσοῦτο γὰρ τῆς τε ἁπληστίας καὶ τῆς ἀναισχυντίας ἐχώρησαν, ὥστε τινὰ καὶ τὴν τῆς Ἀττίας τῆς τοῦ Καίσαρος μητρὸς οὐσίαν, ἀποθανούσης τότε δημοσίᾳ τε ταφῇ[8] τιμηθείσης, παρ' αὐτοῦ τοῦ Καίσαρος αἰτῆσαι.

18. Ταῦτά τε οὖν οὕτως οἱ ἄνδρες ἐκεῖνοι οἱ τρεῖς[9] ἐποίουν, καὶ ἅμα καὶ τὸν Καίσαρα τὸν πρότερον ἐπὶ πλεῖ-

1. D, G : αὐτοῖς ἄλλοις. — 2. Reiske ; vulg. : μισθοφορία. « Differre mihi videntur, dit Reiske, μισθοφορὰ et μισθοφορία. Illud est ipsum stipendium militare, hoc τὸ mereri vel accipere stipendium. »

3. Bekk. ; vulg. et les mss. : καὶ ὑπερεντελής.

4. Leuncl. et Henri Étienne, d'après Xyl., suivis par Reim., Sturz et Bekk. Cette leçon est confirmée par A, C, F, G, I, K. Robert Étienne et B, D, E, H : ἐπιφθοραί, dans G, on lit à la marge, écrit d'une autre

diminuer les prix; d'un autre côté, on vendait tout aux soldats bien au-dessous de sa valeur. Aussi parmi les simples particuliers personne ne sauva rien qui vaille : car, en outre des autres charges, ils avaient à fournir pour la marine des esclaves qu'il leur fallait acheter, quand ils n'en avaient pas; les sénateurs avaient à entretenir les routes à leurs frais. Seuls, les hommes de guerre regorgèrent de richesses. Loin de se contenter de leur solde, bien qu'elle fût parfaitement suffisante, de leurs gratifications, bien qu'ils en eussent reçu de fort nombreuses, des larges récompenses qu'on leur avait données pour les meurtres, de la possession de terres abandonnées, pour ainsi dire, à leur dévolu, les uns réclamaient et obtenaient les biens entiers des citoyens qui mouraient, les autres s'introduisaient par violence dans la famille de vieillards encore vivants et sans enfants. Ils devinrent à tel point insatiables et impudents que, Attia, mère de César, étant morte alors et ayant été honorée de funérailles aux frais de l'État, l'un d'eux osa demander ses biens à César lui-même.

18. Telle était la conduite des triumvirs. En même temps ils comblaient d'honneurs le premier César. Car,

main : ἐπιφθοραὶ καίτοι παμπληθεῖς γενόμεναι· οὐ τά. — 5. D : προκιμίαι.
6. C, H om. — 7. C, D om.
8. Sur les honneurs extraordinaires qui lui furent rendus après sa mort, cf. Suétone, 61. D, E : τότε καὶ δημοσίᾳ ταφῇ.
9. A, B, F, G, I, K, Reim., Sturz et Bekk.; H, D, Leuncl. et Henri Étienne : οἱ τρεῖς ἄνδρες ἐκεῖνοι; Robert Étienne et C, E : οἱ τρεῖς οἱ ἄνδρες ἐκεῖνοι.

στον ἐσέμνυνον[1]. Ἅτε γὰρ τῆς μοναρχίας ἐφιέμενοι καὶ πρὸς αὐτὴν ἐπειγόμενοι, τούς τε σφαγέας αὐτοῦ τοὺς λοιποὺς ὀργῇ μετῆσαν, ὡς[2] καὶ ἐκ τούτου τήν τε ἄδειαν σφίσιν ὧν ἐποίουν καὶ τὴν ἀσφάλειαν πόρρωθεν προπαρασκευάσοντες· καὶ πάνθ' ὅσα ἐς τιμὴν αὐτῷ ἔφερε, προθύμως ἔπραττον ἐς ὑποδοχὴν[3] τοῦ καὶ[4] αὐτοί ποτε τῶν ὁμοίων[5] ἀξιωθῆναι· καὶ διὰ τοῦτο τοῖς τε ἐψηφισμένοις ἤγαλλον αὐτὸν καὶ ἑτέροις, ἃ τότε[6] προσέθεσαν. Ἔν τε γὰρ τῇ πρώτῃ τοῦ ἔτους ἡμέρᾳ αὐτοί τε ὤμοσαν, καὶ τοὺς ἄλλους ὥρκωσαν, βέβαια νομεῖν[7] πάντα τὰ ὑπ' ἐκείνου γενόμενα (καὶ τοῦτο καὶ νῦν ἐπὶ πᾶσι τοῖς τὸ κράτος ἀεὶ ἔχουσιν[8], ἢ καὶ ἐπ' αὐτοῦ[9] ποτὲ γενομένοις, καὶ μὴ ἀτιμωθεῖσι[10], γίγνεται), καὶ ἠρῶόν οἱ ἔν τε τῇ ἀγορᾷ καὶ ἐν τῷ τόπῳ, ἐν ᾧ ἐκέκαυτο, προκατεβάλοντο[11]· καί τι καὶ ἄγαλμα αὐτοῦ ἐν ταῖς ἱπποδρομίαις μεθ' ἑτέρου Ἀφροδισίου ἔπεμπον. Εἴ τε νίκη τις ἠγγέλθη ποθὲν, χωρὶς μὲν τῷ κρατήσαντι, χωρὶς δὲ ἐκείνῳ καὶ τεθνεῶτι, τιμὴν ἱερομηνίας ἔνεμον[12]. Τά τε γενέσια αὐτοῦ δαφνηφοροῦντας καὶ εὐθυμουμένους πάντας ἑορτάζειν ἠνάγκασαν, νομοθετή-

1. A, B, F et Bekk.; vulg. : ἐσέμνυνον ἐπὶ πλεῖστον. — 2. F om.

3. C om. : ἐς. Reiske voudrait ἀποδοχὴν ou προσδοχὴν dans le sens de προσδοκίαν, ou bien encore ὑπολογὴν, qu'il explique *propterea quod* ὑπελογίζοντο. Reim. (*Addenda*), et Sturz est de son avis, propose ἀπεκδοχὴν pour le cas où un changement serait nécessaire.

4. Bekk. propose, en note, κἀν.

5. En marge et d'une autre main dans G : μως (dernière syllabe de προθύμως) ἔπραττον ἐς ὑποδοχὴν τοῦ καὶ αὐτοί ποτε τῶν ὁ- (première syllabe de ὁμοίως).

6. Bekk.; vulg. : ἑτέροις αὐτόσε; F, G : ἑτέροις αὐτότε. Reim. propose

comme ils désiraient son pouvoir souverain et qu'ils marchaient à grands pas vers ce but, ils poursuivaient avec acharnement le reste de ses meurtriers, dans la pensée que, par là, ils se ménageraient de loin pour l'avenir impunité et sûreté pour leurs actes ; aussi, tout ce qui tendait à lui rendre des honneurs, ils l'exécutaient avec empressement, dans l'espoir d'en obtenir un jour autant pour eux-mêmes, et, dans cette intention, ils accumulaient sur lui tous les honneurs qui lui avaient été précédemment décernés, et ils en ajoutèrent de nouveaux. Le premier jour de l'année, ils jurèrent eux-mêmes et firent jurer aux autres de ratifier tous ses actes (cette coutume, aujourd'hui encore, s'observe à l'égard de tous ceux qui se succèdent au pouvoir suprême ou qui l'ont exercé, toutes les fois qu'ils n'ont pas été notés d'infamie), ils lui érigèrent un héroon sur le Forum, à la place même où son corps avait été brûlé, et promenèrent, dans les jeux du cirque, une statue de César avec une statue de Vénus. Quand on annonçait de quelque part une victoire, ils décrétaient des supplications distinctes en l'honneur, et de celui qui avait remporté cette victoire, et de César, bien qu'il fût mort. Ils contraignirent aussi tous les citoyens à célébrer son jour natal,

ἕτερα (conjecture d'Oddey) αὖ τότε, et Reiske, approuvé par Sturz : ἑτέροις, οἷς (ou ἃ) αὐτοὶ τότε.

7. D : βεβαινομεῖν. — 8. Reiske et F ; vulg. et Bekk. : ἰσχουσι.

9. Reiske : « Ἐπ' αὐτοῦ idem est atque ἐν αὐτῷ, vel κυρίους αὐτοῦ. Redit ad τὸ κρατός. » Cf., dans le tome V de l'édit. de Sturz, la note 66*.

10. Lorsqu'un empereur était noté d'infamie après sa mort, comme un Néron ou un Domitien, ses actes étaient cassés, ses lois abolies, ses statues renversées, son nom effacé. C : ἀτιμηθεῖσι.

11. Bekk. ; vulg. : προκατεβάλλοντο. — 12. Sur tous ces honneurs, cf. XLV, 7.

σαντες τοὺς μὲν ἄλλους τοὺς ἀμελήσαντας αὐτῶν[1] ἐπαράτους τῷ τε Διΐ καὶ αὐτῷ ἐκείνῳ εἶναι, τοὺς δὲ δὴ βουλευτὰς τούς τε υἱεῖς σφῶν πέντε καὶ εἴκοσι μυριάδας
R. p. 504. ὀφλισκάνειν. Καὶ (συνέβαινε γὰρ ἐν τῇ αὐτῇ ἡμέρᾳ καὶ τὰ Ἀπολλώνεια γίγνεσθαι[2]) ἐψηφίσαντο τῇ προτεραίᾳ τὰ γενέσια ἀγάλλεσθαι, ὡς καὶ λογίου τινὸς Σιβυλλείου ἀπαγορεύοντος μηδενὶ θεῶν τότε, πλὴν τῷ Ἀπόλλωνι, ἑορτάζεσθαι.

19. Ταῦτά τε[3] οὖν αὐτῷ ἔδωκαν· καὶ τὴν ἡμέραν ἐν ᾗ ἐφονεύθη, κυρίαν ἀεί ποτε ἔδραν βουλῆς ἔχουσαν, ἀποφράδα ἐνόμισαν[4]. Τό τε οἴκημα, ἐν ᾧ ἐσφάγη, παραχρῆμά τε ἔκλεισαν[5], καὶ ὕστερον ἐς ἄφοδον μετεσκεύασαν[6]· καὶ τὸ βουλευτήριον, τὸ Ἰούλιον ἀπ' αὐτοῦ[7] κληθὲν, παρὰ τῷ Κομιτίῳ ὠνομασμένῳ ᾠκοδόμουν, ὥσπερ ἐψήφιστο[8]. Πρὸς δὲ τούτοις, ἀπεῖπον μὲν μηδεμίαν εἰκόνα αὐτοῦ, καθάπερ θεοῦ τινὸς ὡς ἀληθῶς ὄντος, ἐν ταῖς τῶν συγγενῶν αὐτοῦ ἐκφοραῖς πέμπεσθαι, ὅπερ ἐκ τοῦ πάνυ ἀρχαίου καὶ τότε ἔτι ἐγίγνετο· ἀπηγόρευσαν δὲ μηδένα ἐς τὸ ἡρῷον αὐτοῦ καταφυγόντα ἐπ' ἀδείᾳ, μήτε ἀνδρηλατεῖσθαι[9], μήτε συλᾶσθαι, ὅπερ οὐδενὶ οὐδὲ τῶν θεῶν, πλὴν τῶν ἐπὶ τοῦ Ῥωμύλου γενομένων[10], ἐδεδώκεσαν. Καίτοι

1. F : αὐτόν. — 2. Reiske : ἄγεσθαι. Sturz justifie la vulgate par deux exemples de Xénophon. — 3. C, F, G et Bekk. ; vulg. : μέν.

4. Suétone, 88 : « Idus Martias parricidium nominari placuit, ac ne unquam eo die senatus ageretur. » César avait reçu (cf. XLIV, 4) le titre de père de la patrie, de là le nom de parricide donné à son assassinat.

5. Suétone, 88 : « Curiam, in qua occisus est, obstrui placuit. » D et

des couronnes de laurier sur la tête et la joie sur le visage, sous peine, pour ceux qui négligeraient ce devoir, d'être, de par la loi, dévoués à Jupiter et à César lui-même; et, si les coupables étaient sénateurs ou fils de sénateurs, de payer deux cent cinquante mille drachmes. Bien plus, les jeux Apollinaires tombant le même jour, on décréta de fêter, la veille, la naissance de César, attendu qu'un oracle sibyllin défendait de fêter ce jour-là un autre dieu qu'Apollon.

19. Tels furent les honneurs rendus à César; de plus, le jour de sa mort, jour auquel le sénat avait toujours siégé, fut réputé néfaste. On ferma sur-le-champ la salle où il avait été tué, et, dans la suite, on la convertit en latrines. On bâtit encore, conformément au décret, près du Comitium, la curie Julia, ainsi appelée du nom du dictateur. En outre, on ordonna qu'aucune image de César, attendu qu'il était véritablement dieu, ne serait portée aux funérailles de ses parents, ainsi que cela s'était pratiqué de toute antiquité et se pratiquait encore à cette époque. On défendit d'entraîner ou d'arracher par force celui qui, pour s'assurer l'impunité, se serait réfugié dans son héroon, privilége qui, si l'on excepte ce qui eut lieu sous Romulus, n'avait été accordé

H : παράχρημα ἔκλεισαν. — 6. C, D, E, H om. : καὶ ὕστερον ἐς ἄφοδον μετεσκεύασαν. — 7. D, E, F, G, H : ἐπ' αὐτοῦ. — 8. Cf. XLIV, 5. — 9. C, D, E : ἀνδριλαττεῖσθαι. — 10. Cf. Gronovius sur ces mots de Tite Live, I, 8, *Locum, qui nunc septus descendentibus inter duos lucos est, Asylum aperit.* Juste Lipse, *Excursus* F sur le livre III des Annales de Tacite, révoque également en doute le droit d'asile accordé à aucun autre dieu qu'à Romulus.

καὶ ἐκεῖνο τὸ χωρίον ὀνόματι τὴν ἀσυλίαν, μετὰ τὴν τῶν ἀνδρῶν ἄθροισιν, ἄνευ τοῦ ἔργου αὐτῆς, ἔσχεν· οὕτω γὰρ περιεφράχθη, ὥστε μηδένα ἔτι[1] τοπαράπαν ἐσελθεῖν ἐς αὐτὸ δυνηθῆναι. Τῷ μὲν δὴ Καίσαρι ταῦτ' ἔδωκαν· ταῖς δὲ ἀειπαρθένοις, ῥαβδούχῳ ἑνὶ ἑκάστῃ χρῆσθαι, ὅτι τις αὐτῶν ἀπὸ δείπνου πρὸς ἑσπέραν οἴκαδε ἐπανιοῦσα ἠγνοήθη τε καὶ ὑβρίσθη. Τάς τε[2] ἀρχὰς τὰς ἐν τῇ πόλει ἐπὶ πλείω ἔτη προαπέδειξαν, τούς τε ἐπιτηδείους σφίσιν ἅμα δι' αὐτῶν τιμῶντες, καὶ τὰ πράγματα ἐπὶ μακρότερον ταῖς τῶν ἀρξόντων διαδοχαῖς κρατυνόμενοι.

20. Πράξαντες δὲ ταῦτα, Λέπιδος μὲν αὐτοῦ, τήν τε πόλιν καὶ τὴν ἄλλην Ἰταλίαν διάξων, ὥσπερ εἶπον[3], ὑπέμεινε· Καίσαρ δὲ καὶ Ἀντώνιος ἐξεστράτευσαν. Ὅ τε γὰρ Βροῦτος καὶ ὁ Κάσσιος τὸ μὲν πρῶτον, μετὰ τὴν ὁμολογίαν τὴν πρὸς τὸν Ἀντώνιον τούς τε ἄλλους σφίσι γενομένην[4], καὶ ἐς τὴν ἀγορὰν ἐσῆλθον, καὶ τὰς στρατηγίας ἐν τῷ αὐτῷ, ᾧ καὶ πρίν, κόσμῳ διώκουν· ἐπεὶ δ' ἤρξαντό
R.p.505. τινες ἐπὶ τῇ τοῦ Καίσαρος σφαγῇ χαλεπαίνειν, ἐξεχώρησαν, ὡς καὶ ἐπὶ τὰς ἔξω ἀρχάς, ἃς προσετετάχατο[5], ἐπειγόμενοι. Καίτοι καὶ ἀστυνόμος[6] ὁ Κάσσιος[7] ἦν τά τε Ἀπολλώνεια οὐδέπω διεωρτάκει[8]. Ἀλλ' ἐκεῖνα μὲν δι'

1. G : ἔστι. — 2. G : θε. — 3. Cf. XLVI, 56. — 4. Cf. XLIV, 34.

5. La Macédoine, avec l'Illyrie, avait été attribuée à Brutus, et la Syrie à Cassius. Cf. XLV, 9. C : προσετετάχαντο. — 6. Paulmier veut traduire ἀστυνόμος par édile, mais cf. l'*Index*. — 7. Plutarque et Appien rapportent que Brutus fut, dans la demande de la préture urbaine, préféré à Cassius par César. Plutarque (Brutus, 21) ajoute que Brutus fit, bien qu'ab-

à aucun des dieux. Cet endroit, d'ailleurs, bien que déclaré asile, ne conserva, depuis l'accroissement de la population, qu'un nom sans valeur effective; car on l'obstrua de façon que personne désormais ne pût y entrer. Les triumvirs attribuèrent donc à César ces priviléges, et accordèrent aux Vestales celui d'être accompagnées chacune d'un licteur, parce que l'une d'elles revenant le soir chez elle, au sortir d'un souper, avait été outragée par ignorance. Ils nommèrent aussi aux magistratures urbaines pour plusieurs années, afin d'honorer par ce moyen leurs partisans et, en assurant ainsi la succession des magistrats, d'affermir leur pouvoir pour un temps plus long.

20. Une fois ces actes accomplis, Lépidus resta à Rome, ainsi que je l'ai dit, pour administrer les affaires de la ville et celles de l'Italie; César et Antoine se mirent en campagne. Brutus et Cassius, en effet, après leur convention avec Antoine et le reste des citoyens, étaient d'abord descendus au Forum, où ils exercèrent leur préture avec le même appareil qu'auparavant; puis, lorsque quelques citoyens eurent commencé à s'irriter de la mort de César, ils sortirent comme pour se rendre en hâte dans les provinces qui leur étaient confiées. Cassius, cependant, était préteur urbain et n'avait pas encore célébré les jeux Apollinaires. Il les fit, bien qu'absent, celébrer avec une grande

sent, célébrer les jeux Apollinaires. Cicéron (Philipp., II, 18), d'accord avec Plutarque et Appien : « Cur ludi Apollinares incredibili M. Bruti honore celebrati? » Il est donc probable qu'il y a ici une faute de copiste, comme l'a vu Xylander. Aussi Bekker propose-t-il, en note, de lire ici Βροῦτος, et, plus bas, Κασσίου. — 8. La célébration des jeux Apollinaires appartenait au préteur urbain.

Ἀντωνίου τοῦ συστρατηγοῦ[1] καὶ ἀπὼν ἐκπρεπέστατα διετέλεσεν[2], αὐτὸς δὲ οὐκ εὐθὺς ἐκ τῆς Ἰταλίας ἀπέπλευσεν, ἀλλ' ἐν τῇ Καμπανίᾳ, μετὰ τοῦ Βρούτου χρονίσας[3], ἐπετήρει τὰ γιγνόμενα. Καί τινα καὶ γράμματα[4] ἐς τὴν Ῥώμην, ἅτε καὶ στρατηγοῦντες, πρὸς τὸν δῆμον ἔπεμπον, μέχρις οὗ[5] ὁ Καῖσαρ ὁ[6] Ὀκταουϊανὸς[7] τῶν τε[8] πραγμάτων ἀντιλαμβάνεσθαι, καὶ τὸ πλῆθος σφετερίζεσθαι[9], ἤρξατο. Τότε γὰρ[10] τῆς τε[11] δημοκρατίας ἅμα[12] ἀπογνόντες, καὶ ἐκεῖνον φοβηθέντες, ἀπῆραν. Καὶ αὐτοὺς οἱ Ἀθηναῖοι λαμπρῶς ὑπεδέξαντο· ἐτιμῶντο μὲν γὰρ καὶ ὑπὸ τῶν ἄλλων σχεδόν τι πάντων ἐφ' οἷς ἐποίησαν[13], ἐκεῖνοι δὲ καὶ εἰκόνας σφίσι χαλκᾶς παρά τε τὴν[14] τοῦ Ἁρμοδίου καὶ παρὰ τὴν[15] τοῦ Ἀριστογείτονος, ὡς καὶ ζηλωταῖς αὐτῶν γενομένοις[16], ἐψηφίσαντο.

21. Κἀν τούτῳ πυθόμενοι τὸν Καίσαρα ἐπὶ μεῖζον αἴρεσθαι, Κρητῶν μὲν καὶ Βιθυνῶν, ἐφ' οὓς ἐστέλλοντο, ἠμέλησαν, οὐδεμίαν ἐν αὐτοῖς ἀξιόχρεων ὠφέλειαν[17] ὁρῶντες οὖσαν· πρὸς δὲ δὴ τήν τε Συρίαν καὶ τὴν Μακεδονίαν, καίπερ μηδὲν σφίσι προσηκούσας, ἀλλ' ὅτι τῷ καιρῷ[18] καὶ

1. Il s'agit ici de Caïus Antoine, le second des trois Antoine. Cf. XLV, 9.
2. B, C, D, H : ἐπετέλεσεν. — 3. C : χωρήσας, et, en marge : χρονίσας.
4. Sturz : « Γράμματα, id est, *edicta*. Placet enim haec Penzelii explicatio. » — 5. A, B, E, G, et Bekk.; vulg. om.
6. B, F om. — 7. Peir. : Ὅτι Κάσσιος καὶ Βροῦτος στρατηγοῦντες ἐπεὶ Ὀκταβιανός, pour μέχρις οὗ ὁ Ὀκταουϊανός. — 8. Peir. om. — 9. Peir. om. : καὶ τὸ πλῆθος σφετερίζεσθαι. — 10. Peir. om. : τότε γάρ.
11. Peir. om. — 12. Peir. om. — 13. Peir. : ἐπόρησαν. — 14. Peir. om. : παρά τε τήν.

magnificence par son collègue Antoine, et, au lieu de faire voile immédiatement pour quitter l'Italie, il s'arrêta dans la Campanie avec Brutus, pour observer les événements. Ils envoyèrent même à Rome, en leur qualité de préteurs, des lettres au peuple, jusqu'au moment où César Octavien commença à s'occuper des affaires et à s'attacher le peuple. Alors, désespérant du gouvernement populaire et redoutant César, ils levèrent l'ancre. Athènes leur fit une réception brillante : presque tous les autres peuples leur rendaient des honneurs pour ce qu'ils avaient fait, mais les Athéniens leur décernèrent publiquement des statues d'airain à côté de celles d'Harmodius et d'Aristogiton, comme à des imitateurs de ces héros.

21. Sur ces entrefaites, ayant appris que César devenait de plus en plus fort, Brutus et Cassius renoncèrent à se rendre en Crète et en Bithynie où ils étaient envoyés, parce qu'ils virent qu'il n'y avait aucun secours important à en tirer; et comme, d'un autre côté, la Syrie et la Macédoine, sans leur appartenir, leur offraient une

15. Peir. om. : παρὰ τήν. — 16. B : γενομέναις. — 17. A : ὠφελίαν ; G : ὠφηλίαν. — 18. Leuncl. : τῷ τότε καιρῷ ; Reiske, tout en approuvant beaucoup cette conjecture, défend la vulgate, en la résolvant par τούτῳ τῷ καιρῷ, l'article, dit-il, étant souvent employé à la place du relatif. Reim. donne une explication plus satisfaisante : « Τῷ καιρῷ simpliciter legitur etiam apud Xiph., idque pariter referendum ad ἡκμαζον, unde *opportunitatem locorum* interpretatus sum. Nam et ad loca refertur [cf. l'*Index*] vocabulum ut XXXVI, 30 (45, dans la présente édition) : ἐλόχισεν ᾗ καιρός ἦν, etc. »

τοῖς χρήμασι ταῖς τε δυνάμεσιν ἤκμαζον, ἐτράποντο. Καὶ Κάσσιος μὲν πρὸς τοὺς Σύρους, ὡς καὶ συνήθεις οἱ καὶ φίλους ἐκ τῆς μετὰ τοῦ Κράσσου στρατείας[1] ὄντας, ὥρμησε· Βροῦτος δὲ τήν τε Ἑλλάδα καὶ τὴν Μακεδονίαν[2] συνίστη. Ἄλλως τε γὰρ ἔκ τε τῆς δόξης τῶν πεπραγμένων, καὶ ἐπὶ ταῖς ἐλπίσι τῶν ὁμοίων προσεῖχον[3] αὐτῷ, καὶ διότι καὶ στρατιώτας συχνοὺς, τοὺς μὲν ἐκ τῆς πρὸς Φαρσάλῳ μάχης ἐκεῖ που καὶ τότε ἔτι[4] περιπλανωμένους, τοὺς δὲ καὶ ἐκ τῶν τῷ Δολοβέλλᾳ συνεξελθόντων ὑπολειφθέντας[5] ἢ διὰ νόσον, ἢ δι' ἀταξίαν, προσλαβὼν εἶχε· καὶ οἱ καὶ χρήματα ἐκ τῆς Ἀσίας παρὰ τοῦ Τρεβωνίου ἦλθε. Τὸ μὲν οὖν Ἑλληνικὸν ἀπονητότατα ἐκ τούτων, ἅτε μηδὲ δύναμίν τινα ἀξιόλογον ἔχον, προσεποιήσατο· ἐς δὲ δὴ τὴν Μακε-
R.p.506. δονίαν ἦλθε μὲν ἐν ἐκείνῳ τῷ καιρῷ, ἐν ᾧ ὅ[6] τε Ἀντώνιος ὁ Γάϊος ἄρτι ἀφῖκτο[7], καὶ Κύϊντος Ὀρτήσιος ὁ προάρξας αὐτῆς, ἀπαλλαγήσεσθαι ἔμελλεν· οὐ μέντοι[8] καὶ πρᾶγμά τι ἔσχεν. Οὗτός τε[9] γὰρ εὐθὺς αὐτῷ προσεχώρησε, καὶ ὁ Ἀντώνιος, κωλυθεὶς κατὰ τὴν τοῦ Καίσαρος ἐν τῇ Ῥώμῃ ἐπικράτησιν πράσσειν τι τῶν τῇ ἀρχῇ προσηκόντων, ἀσθενὴς ἦν. Ὅ τε Οὐατίνιος ἦρχε μὲν Ἰλλυριῶν τῶν πλησιοχώρων, καὶ τό τε Δυῤῥάχιον ἐκεῖθεν ἐπελθὼν προκατέλαβε, καὶ ἦν αὐτῷ κατὰ τὸ στασιωτικὸν διάφορος· οὐ μὴν ἠδυνήθη τι αὐτὸν βλάψαι· οἱ γὰρ στρατιῶται,

1. Appien, IV, 59, nous apprend que Cassius avait été questeur de Crassus dans son expédition contre les Parthes.

2. G : τὴν Ἑλλάδα καὶ τὴν δόξαν Μακεδονίαν.

3. C, D : προσῆχον.

position forte, de l'argent et des troupes, ils se portèrent de ce côté. Cassius se dirigea vers les Syriens, parce qu'ils étaient liés avec lui et ses amis depuis l'expédition de Crassus; Brutus rangeait la Grèce et la Macédoine à son parti. La gloire de ses actions et l'espérance d'autres semblables lui valurent l'obéissance des peuples; d'ailleurs un grand nombre de soldats, les uns errants çà et là depuis la bataille de Pharsale, les autres, venus avec Dolabella et abandonnés ensuite pour cause de maladie ou d'indiscipline, avaient renforcé son armée, et il lui était venu d'Asie de l'argent envoyé par Trébonius. Avec ces ressources, il n'eut pas de peine à soumettre la Grèce qui n'avait pas même une armée digne de ce nom; quant à la Macédoine, il y vint au moment où Caïus Antoine venait d'y arriver, et où Q. Hortensius, qui la gouvernait auparavant, était sur le point d'en partir; cependant il n'éprouva pas de difficultés. Hortensius se joignit aussitôt à lui, et Antoine, empêché qu'il était par la prépondérance de César à Rome de faire aucun acte de magistrat, restait sans force. Vatinius commandait aux Illyriens limitrophes de la Macédoine, il partit de chez eux pour se saisir de Dyrrachium. C'était un adversaire politique de Brutus; il ne put cependant lui causer aucun dommage, car les soldats, qui le haïs-

4. G : ἔστι. — 5. E : ὑπολῃρθέντες — 6. Dans K, les mots ἐν ᾧ sont en marge avec un renvoi.

7. F : ἀφίκετο. — 8. F : μέν τι.

9. D, Sturz et Bekk.; vulg. om.

ἀχθόμενοί τε αὐτῷ καὶ προσκαταφρονήσαντες[1] αὐτοῦ διὰ νόσον, μετέστησαν. Καταλαβὼν οὖν καὶ τούτους, ἐπί τε τὸν Ἀντώνιον ἐν τῇ Ἀπολλωνίᾳ ὄντα ἐστράτευσε, καὶ προαπαντήσαντός[2] οἱ αὐτοῦ, τούς τε στρατιώτας ᾠκειώσατο, καὶ ἐκεῖνον ἐς τὸ τεῖχος προκαταφυγόντα ἀπετείχισε[3] μὲν, καὶ ἐζώγρησεν ἐκ προδοσίας, κακὸν δὲ οὐδὲν εἰργάσατο.

22. Πράξας δὲ ταῦτα, καὶ τήν τε Μακεδονίαν μετὰ τοῦτο πᾶσαν καὶ τὴν Ἤπειρον προσλαβὼν[4], ἐπέστειλε[5] τῇ γερουσίᾳ, τά τε πραχθέντα οἱ δηλῶν, καὶ ἑαυτὸν, τά τε ἔθνη καὶ τοὺς στρατιώτας ἐπ' αὐτῇ ποιούμενος. Οἱ δὲ (ἔτυχον γὰρ ὑπόπτως ἤδη πρὸς[6] τὸν Καίσαρα ἔχοντες) ἰσχυρῶς τε αὐτὸν ἐπῄνεσαν, καὶ πάντων τῶν ἐκεῖ χωρίων ἄρχειν ἐκέλευσαν. Ὡς οὖν καὶ ἐκ τοῦ δόγματος τὴν ἡγεμονίαν ἐβεβαιώσατο, αὐτός τε ἐπὶ πλεῖον προεθυμήθη, καὶ τὸ ὑπήκοον ἀπροφασίστως συναιρόμενον ἔσχε. Καὶ τέως μὲν τῷ τε Καίσαρι πέμπων, ὅτε[7] ἐδόκει τῷ Ἀντωνίῳ πολεμεῖν, παρῄνει ἐκείνῳ τε ἀνθίστασθαι, καὶ ἑαυτῷ συναλλαγῆναι· καὶ αὐτὸς ἐς τὴν Ἰταλίαν πλεῦσαι παρεσκευάζετο, ὅθεν ἡ γερουσία μετέπεμψεν[8] αὐτόν. Ἐπεὶ δὲ ὁ Καῖσαρ τά τε ἐν τῇ Ῥώμῃ ἀκριβῶς κατέσχε, καὶ τοὺς τοῦ πατρὸς φονέας φανερῶς[9] ἐτιμωρεῖτο, κατὰ χώραν ἔμεινε,

1. F : προκαταφρονήσαντες. — 2. F : προσαπαντήσαντες.
3. E : ἀπετύχισε, de même D, mais le mot n'est pas tout à fait clair.
4. G : προλαβών.
5. D : ἀπέστειλε.

saient et le méprisaient parce qu'il était malade, l'abandonnèrent. Brutus, les prenant également avec lui, marcha contre Antoine qui était à Apollonie, gagna ses soldats comme il s'avançait à sa rencontre, l'enferma dans les murailles où il s'était réfugié et le prit vivant par trahison, mais ne lui fit aucun mal.

22. Après s'être ensuite emparé de toute la Macédoine et de toute l'Épire, il écrivit au sénat pour l'instruire de ce qu'il avait fait et se soumettre à ses décisions, lui, ses provinces et ses soldats. Le sénat, qui commençait à se défier de César, lui donna de grands éloges et lui ordonna de prendre le gouvernement de tous ces pays. Quand il vit son autorité ainsi confirmée par un sénatus-consulte, il sentit lui-même s'augmenter son courage, et trouva les sujets de Rome disposés à le secourir sans hésitation. Tant que César sembla faire la guerre à Antoine, il ne cessa d'envoyer vers lui pour l'exhorter à résister à cet ennemi et à se réconcilier avec lui; lui-même il se tenait prêt à faire voile pour l'Italie, quel que fût l'endroit d'où l'appellerait le sénat. Mais quand César fut complétement maître des affaires à Rome et qu'il se fut mis à punir ouvertement les meurtriers de son père, Brutus garda

6. C : ἐς. — 7. A, B, F, K : ὅτε. — 8. Le sénat avait déjà appelé Brutus, Cassius et Sextus à son secours contre Antoine et Lépidus. Cf. XLVI, 51. Reimarus, tout en rejetant les changements proposés par Oddey et par Leuncl., pense qu'on pourrait peut-être substituer ὅτι à ὅθεν. — 9. G : om.

καὶ διεσκόπει ὅπη ποτὲ ἐπιόντα αὐτὸν καλῶς ἀμύναιτο[1], καὶ τά τε ἄλλα ἄριστα δὴ τήν τε Μακεδονίαν διήγαγε, καὶ τὰ στρατεύματα στασιασθέντα οἱ ὑπὸ τοῦ Ἀντωνίου κατεστήσατο.

23. Ἐκεῖνος γὰρ, καίτοι ὑπ' αὐτοῦ οὐδὲ τοῦ στρατηγικοῦ κόσμου στερηθεὶς[2], οὐκ ἠγάπησε τὴν ἡσυχίαν ἔν τε ἀδείᾳ καὶ ἐν τιμῇ ἔχων, ἀλλ' ἐς τοὺς τοῦ Βρούτου στρατιώτας ἔπραττεν ἀπόστασιν· φωραθείς τε ἐπὶ τούτῳ, πρὶν μέγα τι κακὸν δράσαι, καὶ τῶν τε ἐπισήμων τῆς στρατηγίας ἀφαιρεθεὶς, καὶ φυλακῇ τινι ἀδέσμῳ, ἵνα μηδὲν νεο-
B. p.307. χμώσῃ, παραδοθεὶς[3], οὐδ' ὡς ἡσύχασεν, ἀλλὰ καὶ ἐπὶ μᾶλλον ἢ πρὶν ἐνεωτέρισεν· ὥστε καὶ τῶν στρατιωτῶν τοὺς μὲν ἀλλήλοις ἐς χεῖρας ἐλθεῖν, τοὺς δὲ καὶ ἐπ' ἐκεῖνον ἐς τὴν Ἀπολλωνίαν, ὅπως ἐξαρπάσωσιν αὐτὸν, ὁρμῆσαι. Καὶ τοῦτο μὲν οὐκ ἠδυνήθησαν ποιῆσαι· ὁ γὰρ Βροῦτος, ἐκ γραμμάτων τινῶν ἁλόντων προμαθὼν τὸ γενησόμενον, ὑπεξήγαγεν αὐτὸν, ὡς καὶ νοσοῦντά τινα ἐς δίφρον[4] κατάστεγον ἐμβαλών· οὔτε δὲ ἐκεῖνον εὑρεῖν δυνάμενοι, καὶ τὸν Βροῦτον φοβούμενοι, λόφον[5] ὑπὲρ τῆς πόλεως κατέλαβον. Καὶ αὐτοὺς ὁ Βροῦτος ἔς τε ὁμολογίαν ὑπαγαγόμενος[6], καὶ ὀλίγους τῶν θρασυτάτων, τοὺς μὲν θανατώσας, τοὺς δὲ ἀπαλλάξας ἐκ τῆς συστρατείας, οὕτω διέθηκεν,

1. G : ἀμύνετο.

2. Bekk.; vulg. : ὑπὸ τοῦ στρατιωτικοῦ κόσμου στερηθείς. Il y a évidemment quelques mots de passés. Xyl. lit : ὑπὸ τοῦ Βρούτου οὐδὲ τοῦ στρατηγικοῦ, κ. τ. λ.; Leuncl. : ὑπὸ τοῦ Βρούτου τοῦ στρατηγικοῦ κόσμου οὐ στερηθείς; Odd. propose καίτοι οὔπω, κ. τ. λ.

son poste et songea aux moyens de repousser avantageusement son attaque ; il se montra plein de bonté dans l'administration des autres provinces et dans celle de la Macédoine, et fit rentrer dans l'obéissance les légions soulevées contre lui par Antoine.

23. Antoine, en effet, bien que Brutus ne lui eût pas même enlevé les ornements de la préture, au lieu de se contenter de jouir tranquillement de l'impunité et des honneurs qui lui étaient accordés, provoqua une défection parmi les soldats de Brutus ; mais, découvert avant d'avoir causé un grand mal, et mis, après avoir été dépouillé de ses ornements de préteur, en garde libre, de crainte de nouveaux mouvements, loin de se tenir en repos, il recommença de plus belle ses menées, à tel point qu'une partie des soldats en vinrent aux mains avec leurs camarades, et qu'une autre partie marcha sur Apollonie dans l'intention de l'en enlever. Ils ne purent toutefois y réussir, car Brutus, instruit de leur projet par des lettres qu'il intercepta, emmena secrètement hors de la ville Antoine qu'il jeta, comme une personne malade, dans une litière couverte : les soldats, n'ayant pu trouver Antoine et redoutant Brutus, s'emparèrent d'une colline au-dessus de la ville. Brutus, après les avoir lui-même amenés à se rendre, et, parmi les plus audacieux, puni les uns de mort, et chassé les autres de son armée, inspira au reste des dispositions telles

3. C, D om. : καὶ φυλακῇ. . . . παραδυθείς
4. C : διαφορὰν, et, en marge : δίφρον.
5. Penzel pense que Dion a voulu désigner ici le Νυμφαῖον dont il a été parlé XLI, 45.
6. F : ὑπαγόμενος.

ὥστε σφᾶς τούς τε ἀποπεμφθέντας, ὡς καὶ τῆς στάσεως αἰτιωτάτους, συλλαβεῖν καὶ ἀποκτεῖναι, καὶ τὸν ταμιείαν[1] τούς τε ὑποστρατήγους τοῦ Ἀντωνίου ἐξαιτῆσαι.

24. Ὁ οὖν Βροῦτος ἐκείνων μὲν οὐδένα σφίσιν ἐξέδωκεν, ἀλλ' ἐς πλοῖα αὐτοὺς ἐμβαλὼν, ὡς καὶ καταποντώσων, ἐς τὸ ἀσφαλὲς ἀπέπεμψε[2]· φοβηθεὶς δὲ μὴ καὶ αὖθις τῶν ἐν τῇ Ῥώμῃ πραττομένων[3], ἐπὶ τὸ φοβερώτερον ἀγγελλομένων, πυνθανόμενοι μεταβάλωνται[4], τὸν μὲν Ἀντώνιον ἐν τῇ Ἀπολλωνίᾳ κατέλιπε, Γαΐῳ τινὶ Κλωδίῳ παραδοὺς φυλάσσειν· αὐτὸς δὲ τό τε πλεῖστον καὶ τὸ ἰσχυρότατον τοῦ στρατοῦ λαβὼν, ἔς τε τὴν ἄνω Μακεδονίαν ἀνεχώρησε, κἀντεῦθεν ἐς τὴν Ἀσίαν ὕστερον ἔπλευσεν, ὅπως σφᾶς ὅτι τε ποῤῥωτάτω τῆς Ἰταλίας ἀπαγάγῃ, κἀκ τῶν ἐκεῖ ὑπηκόων[5] διατρέφῃ. Καὶ ἄλλους τε ἐν τούτῳ συμμάχους προσεποιήσατο, καὶ τὸν Δηϊόταρον[6], καίπερ ὑπέργηρών[7] τε ὄντα, καὶ τῷ Κασσίῳ ἀπειπόντα τὴν βοήθειαν. Διατρίβοντος δὲ αὐτοῦ ταύτῃ, ἐκείνῳ τε Γέλλιος Ποπλικόλας ἐπεβούλευσε, καὶ τὸν Ἀντώνιον ὁ ἀδελφὸς ὁ Μάρκος ἐξαρπάσαι, πέμψας τινὰς, ἐπεχείρησε. Καὶ τοῦτον[8] μὲν ὁ Κλώδιος, ὡς οὐκ ἠδυνήθη σῶον φυλάξαι, ἀπέκτεινεν, εἴτ' αὐτογνωμονήσας, εἴτε καὶ ἐξ ἐντολῆς τοῦ Βρούτου· καὶ γὰρ λόγος ἔχει, ὅτι πρότερον μὲν ἐν παντὶ

1. C et Bekk. : ταμίαν; mais ταμιεία, quoique insolite dans ce sens, est employé (cf. l'*Index*) par Dion en plusieurs endroits, notamment aux ch. 17 et 21 du livre XLVIII; il se trouve même deux fois au ch. 21, où, de plus, on lit : συνταμιείαν. — 2. D : ἐξέπεμψε. — 3. Les proscrip-

qu'ils se saisirent de ceux qui avaient été renvoyés et les mirent à mort comme ayant été les principaux auteurs de la sédition, et réclamèrent le questeur et les légats d'Antoine.

24. Brutus ne leur en livra aucun, mais, les jetant dans des barques, sous l'apparence de les faire périr dans les flots, il les envoya en lieu sûr : d'un autre côté, craignant que les soldats, s'ils apprenaient les événements de Rome, événements qu'on exagérait d'une façon effrayante, ne fissent de nouveau défection, il laissa dans Apollonie Antoine sous la garde d'un certain C. Clodius, et lui-même, avec le gros et l'élite de son armée, se retira dans la Macédoine supérieure d'où, plus tard, il fit voile pour l'Asie, afin de les emmener le plus loin possible de l'Italie et de les nourrir aux dépens des populations de cette province. Dans cette circonstance il s'acquit, entre autres alliances, celle de Déjotarus, bien que ce prince fût arrivé à une extrême vieillesse et eût refusé son secours à Cassius. Pendant son séjour en Asie, Gellius Publicola conspira contre lui, et Marc Antoine essaya de faire enlever son frère Lucius par des émissaires. Clodius, ne pouvant plus garder vivant son prisonnier, le tua, soit de sa propre autorité, soit d'après l'ordre de Brutus : car Brutus, à ce que l'on rapporte, s'intéressa, d'abord, de toutes les

tions. — 4. Bekk. ; vulg. : μεταβάλλωνται. — 5. E : ὑποκόων. — 6. D : Δήϊταρον. — 7. A, F, K : ὑπεργήρω. — 8. Correction de Henri Etienne adoptée par les éd. subséq. ; vulg. et E : τούτῳ ; H : τοῦτο, D : τοῦτο.

τὴν σωτηρίαν αὐτοῦ ἐποιεῖτο, ὕστερον δὲ, μαθὼν τὸν[1] Δέκιμον ἀπολωλότα, παρ' οὐδὲν αὐτὴν ἤγαγεν[2]. Ὁ δὲ δὴ Γέλλιος ἐφωράθη μὲν, ἔπαθε δὲ[3] δεινὸν οὐδέν· ὁ γὰρ Βροῦτος ἐκεῖνόν τε ἐν τοῖς φιλτάτοις ἀεί[4] ποτε[5] νομίσας εἶναι, καὶ τὸν ἀδελφὸν αὐτοῦ Μάρκον Μεσσαλὰν[6] πάνυ τῷ Κασσίῳ προσκείμενον εἰδὼς, ἀφῆκεν αὐτόν. Καὶ ὃς ἐπέθετο μὲν καὶ τῷ Κασσίῳ, οὐδὲν δὲ οὐδὲ τότε κακὸν[7] ἔπαθεν. Αἴτιον δὲ, ὅτι ἡ μήτηρ αὐτοῦ Πῶλα[8]
R. p. 508. προμαθοῦσα τὴν ἐπιβουλὴν, καὶ[9] δείσασα περί τε τῷ Κασσίῳ, μὴ προκαταληφθῇ (σφόδρα γὰρ αὐτὸν ἠγάπα), καὶ περὶ τῷ υἱῷ, μὴ καταφωραθῇ, τό τε ἐπιβούλευμα αὐτὴ ἐκοῦσα τῷ Κασσίῳ προεμήνυσε, καὶ τὴν σωτηρίαν τοῦ παιδὸς ἀντέλαβεν. Οὐ μέντοι καὶ βελτίω αὐτὸν ἐποίησε· πρός τε γὰρ τὸν Καίσαρα καὶ πρὸς τὸν Ἀντώνιον ἀπὸ τῶν εὐεργετῶν ἀπηυτομόλησεν.

25. Ὁ δ' οὖν Βροῦτος, ὡς τάχιστα τήν τε τοῦ[10] Ἀντωνίου τοῦ Μάρκου πεῖρασιν καὶ τὴν τοῦ ἀδελφοῦ αὐτοῦ σφαγὴν ἔμαθεν, ἔδεισε μὴ καὶ ἄλλο τι ἐν τῇ Μακεδονίᾳ παρὰ τὴν ἀπουσίαν αὐτοῦ νεωτερισθῇ· καὶ εὐθὺς ἐς τὴν Εὐρώπην ἐπειχθεὶς, τήν τε χώραν τὴν τοῦ Σαδάλου[11] γενομένην παρέλαβεν (ἅπαις γὰρ τελευτῶν τοῖς Ῥωμαίοις αὐτὴν κα-

1. C : καὶ τόν. — 2. Plutarque (Brutus, 28) donne le nom d'Hortensius à celui qui reçut l'ordre de faire périr Caïus Antoine en expiation de la mort de Décimus Brutus et de celle de Cicéron.
3. G, K : ἔπαθεν δέ. — 4. H om. — 5. C, D om.
6. F et Bekk.; vulg. : Μεσσαλᾶν.
7. F, Sturz et Bekk.; Reiske : οὐδὲν, τότε γε, κακόν; Leuncl. : οὐδὲν

manières au salut d'Antoine, mais, dans la suite, ayant appris la mort de Décimus, il ne s'en occupa plus. Pour ce qui est de Gellius, il fut découvert, mais ne subit aucun supplice, car Brutus, qui avait toujours mis ce Gellius au nombre de ses grands amis et qui savait que son frère M. Messala était tout dévoué à Cassius, lui accorda son pardon. Cependant il trama un complot contre Cassius aussi, mais alors encore il ne lui arriva aucun mal. La raison en est que sa mère Pola, instruite à l'avance du complot, craignant que Cassius, qu'elle aimait beaucoup, n'en fût victime et que son fils ne fût découvert, révéla d'elle-même la conspiration à Cassius, et reçut en retour la vie de son fils. Cependant elle ne le rendit pas plus honnête; car il abandonna ses bienfaiteurs pour passer à César et à Antoine.

25. Brutus donc, dès qu'il eut connaissance de la tentative de Marc Antoine et du meurtre de son frère, craignit qu'il ne survînt encore de nouveaux mouvements dans la Macédoine pendant son absence; il se hâta de revenir en Europe, où il prit possession du territoire qui avait appartenu à Sadalus (Sadalus, mort sans enfants, avait légué son royaume aux Romains); il

καὶ τότε κακόν ; C om. : τότε; vulg. et A, B, D, I, K om. : οὐδέ.
8. Bekk.; vulg. : Πάλλα; C : Πάλαι. Cf. la note *g* de Reimarus.
9. C, D, E, H om. — 10. D om.
11. Xyl., Henri Étienne et les éd. subséq.; de même A, C, I; Robert Étienne et D, E, K, H : Ἀδάλου; B : Ἀδάλλου; G : Ἀδάμου; F : Ἀδέλφου.

τέλιπε), καὶ ἐς Βησσοὺς[1] ἐμβαλὼν, εἴ πως ἀμύναιτό τε ἅμα αὐτοὺς ὧν ἐκακούργουν, καὶ ὄνομα ἀξίωμά τε αὐτοκράτορος, ὡς καὶ ῥᾷον ἐκ τούτου τῷ τε Καίσαρι καὶ τῷ Ἀντωνίῳ προσπολεμήσων[2], περιβάλοιτο[3], ἀμφότερα διεπράξατο, Ῥασκυπόριδός[4] οἱ δυνάστου τινὸς ἐς τὰ μάλιστα βοηθήσαντος. Ἐντεῦθεν δὲ ἐς τὴν Μακεδονίαν ἐλθὼν καὶ πάντα τὰ ἐκεῖ κρατυνάμενος, ἐς τὴν Ἀσίαν αὖθις ἀνεκομίσθη. Βροῦτος μὲν ταῦτά τε[5] ἔπρασσε, καὶ ἐς τὰ νομίσματα, ἃ ἐκόπτετο, εἰκόνα τε αὐτοῦ[6] καὶ πιλίον[7], ξιφίδιά τε δύο ἐνετύπου[8], δηλῶν ἔκ τε τούτου καὶ διὰ τῶν γραμμάτων ὅτι τὴν πατρίδα μετὰ τοῦ Κασσίου ἠλευθερωκὼς εἴη.

26. Ἐν δὲ τοῖς αὐτοῖς ἐκείνοις χρόνοις[9] ὁ Κάσσιος ἔς τε τὴν Ἀσίαν πρὸς τὸν Τρεβώνιον, φθάσας[10] τὸν Δολοβέλλαν[11], ἐπεραιώθη· καὶ λαβὼν παρ' αὐτοῦ χρήματα, τῶν τε ἱππέων συχνοὺς, οὓς ὁ Δολοβέλλας ἐς τὴν Συρίαν προεπεπόμφει[12], καὶ ἑτέρους πολλοὺς τῶν τε Ἀσιανῶν καὶ τῶν Κιλίκων προσέθετο. Κἀκ τούτου καὶ τὸν Ταρκονδίμοτον[13], τούς τε Ταρσέας καὶ ἄκοντας[14], ἐς τὸ συμμαχικὸν προσηγάγετο· οὕτω γὰρ προσφιλῶς τῷ Καίσαρι τῷ προ-

1. E, H : Βήσους. — 2. C, D, E, H : ὡς καὶ πολεμήσων ῥᾷον ἐκ τούτου τῷ τε Καίσαρι καὶ τῷ Ἀντωνίῳ.

3. B. et Bekk.; vulg. : περιβάλλοιτο. — 4. Sur les diverses manières dont ce nom a été écrit, cf. l'édition de Sturz, tome V, pp. 521 et 522.

5. D om. — 6. C : αὐτοῦ.

7. C, Reim., Sturz et Bekk.; vulg. et les autres mss. : πτίλιον.

8. Appien fait aussi mention de monnaie frappée par Brutus, mais sans dire quelle image elle portait. — 9. A, C, D, E, F, G et Bekk.;

entreprit aussi une expédition contre les Besses pour tâcher de les punir du mal qu'ils lui avaient fait, et de conquérir le titre et la dignité d'*Imperator*, afin de faire, s'il les obtenait, plus aisément la guerre à César et à Antoine, double but qu'il atteignit, aidé surtout du concours de Rhascyporis, un des princes de ce pays. Après être de là passé en Macédoine, où il rétablit l'ordre, il retourna en Asie. Tels furent les exploits de Brutus; de plus, il frappa des monnaies sur lesquelles il fit graver un *pileum* et deux poignards, pour montrer, par cette image aussi bien que par l'inscription, qu'il avait, de concert avec Cassius, affranchi sa patrie.

26. Dans ce même temps, Cassius, prévenant Dolabella, passa en Asie pour rejoindre Trébonius, et, avec l'argent qu'il reçut de lui, rangea à son parti un grand nombre des cavaliers que Dolabella avait envoyés en avant-garde en Syrie, ainsi que beaucoup d'autres appartenant aux Asiatiques et aux Ciliciens. Par suite, il contraignit Tarcondimotus et les Tarsiens à entrer malgré eux dans son alliance; car les Tarsiens étaient tellement portés pour le premier César et, à cause de lui,

B, H, I, K, Reim. et Sturz : χρόνοις ἐκείνοις. — 10. Cf. Appien, IV, 58. G : φάσας, correction d'une autre main. — 11. F, G : Δολαβέλλαν, et de même plus bas. — 12. G : προεπεπόμφθει. — 13. H : Ταρκοδίμοτον; D : Ταρκοδῖμοτον. Les mss. de Strabon : Ταρκοδήμεντος; Plutarque : Ταρκόνδημος; Lucain : *Tarco;* César, Guerres Civiles, III, 4 : *Tarcondarius Castor;* Cicéron et Florus, d'accord avec Dion : *Tarcondimotus.* Cf. XLI, 63. — 14. Cf., plus bas, ch. 29, 30 et 31.

τέρῳ, καὶ δι' ἐκεῖνον[1] καὶ τῷ δευτέρῳ[2], οἱ Ταρσεῖς εἶχον, ὥστε καὶ Ἰουλιόπολιν σφᾶς ἀπ' αὐτοῦ μετονομάσαι. Ταῦτ' οὖν ὁ Κάσσιος πράξας, ἐς τὴν Συρίαν ἦλθε, καὶ ἁμαχὶ πάντα τά τε τῶν δήμων καὶ τὰ τῶν στρατευμάτων προσεποιήσατο. Ἡ δὲ δὴ κατάστασις ἡ[3] ἐν τῇ Συρίᾳ τότε τοιάδε ἦν. Καικίλιος[4] Βάσσος[5] ἱππεὺς, στρατεύσας τε τῷ Ποµπηΐῳ, καὶ ἀναχωρήσας ἐς Τύρον, ἐκεῖ ἐν τῷ ἐμπορίῳ[6] τὰς
R.p.509. διατριβὰς λανθάνων ἐποιεῖτο. Ἦρχε δὲ τῶν Σύρων Σέξτος· τούτῳ γὰρ καὶ ταμίᾳ[7] καὶ συγγενεῖ αὐτοῦ[8] ὄντι ὁ Καῖσαρ πάντα τὰ τῇδε κατὰ τὴν ἐκ τῆς Αἰγύπτου ἐπὶ[9] τὸν Φαρνάκην ἔλασιν ἐπέτρεψεν[10]. Ὁ οὖν Βάσσος τὸ μὲν πρῶτον ἡσυχίαν ἦγεν, ἀγαπῶν εἴ τις αὐτὸν ζῆν εἰάσειεν[11]· ὡς δὲ τῶν τε ὁμοίων τινὲς πρὸς αὐτὸν συνελέγησαν, καὶ τῶν τοῦ Σέξτου στρατιωτῶν ἄλλοτε ἄλλους ἐς φυλακὴν τῆς πόλεως φοιτῶντας ἀνηρτήσατο, περί τε τοῦ Καίσαρος πολλὰ καὶ δεινὰ ἐκ τῆς Ἀφρικῆς ἠγγέλλετο[12], οὐκέτι τοῖς παροῦσιν ἔστερξεν, ἀλλ' ἢ τοῖς ἀμφὶ τὸν Σκηπίωνα, τόν τε Κάτωνα, καὶ τοὺς Ποµπηΐους συναιρόμενος, ἢ καὶ ἑαυτῷ δυναστείαν τινὰ περιβαλλόμενος ἐνεώχμου. Φωραθείς τε[13] ὑπὸ τοῦ Σέξτου, πρὶν παρασκευάσασθαι, ἔφη τε τῷ Μιθριδάτῃ τῷ Περγαμηνῷ[13a] τὴν ἐπικουρίαν ἐπὶ τὸν Βόσπορον ἀθροίζειν, καὶ πιστευθεὶς ἀπελύθη. Καὶ οὕτω μετὰ ταῦτα γράμματά τινα συνέπλασεν, ὡς καὶ παρὰ τοῦ Σκηπίωνός

1. C : ἐκείνων. — 2. C : τῶν δευτέρων. — 3. C om.
4. D, E, H : Κεκίλλιος ; A, C, I : Κεκίλιος.
5. H : Κάσσιος. — 6. Sturz et Bekk.; vulg. : ἐμπορίῳ.
7. F : καὶ τῷ ταμίᾳ. — 8. Bekk ; vulg. : αὐτοῦ.

pour le second, qu'ils avaient changé le nom de leur ville en celui de Juliopolis. Cassius donc, après avoir fait ces choses, vint en Syrie, et là, réduisit sans coup férir tous les peuples et toutes les armées. Car, voici quelle était alors la situation en Syrie. Cécilius Bassus, de l'ordre équestre, après avoir servi sous Pompée et s'être retiré à Tyr, y séjournait secrètement dans l'entrepôt. Le gouverneur de la Syrie était Sextus ; il était questeur et parent de César qui, lors de son expédition contre Pharnace, à son retour de l'Égypte, lui avait donné l'administration de toutes ces contrées. Bassus donc se tint d'abord tranquille, satisfait de ce qu'on le laissât vivre ; puis, quand il eut réuni autour de lui quelques-uns de ceux de son parti, qu'il se fut attaché des soldats de Sextus venus, les uns à une époque, les autres à une autre, en garnison dans la ville, comme on recevait d'Afrique beaucoup de nouvelles fâcheuses sur le compte de César, il ne se contenta plus de sa condition présente ; mais, soit pour favoriser Scipion, Caton et les Pompéiens, soit pour se faire à lui-même une certaine puissance, il excita un soulèvement. Découvert par Sextus avant d'être prêt, il dit qu'il rassemblait des secours pour Mithridate de Pergame contre le Bosphore, et, ayant réussi à se faire croire, il fut relâché. Après cela, il feignit des lettres envoyées par Scipion, lettres

9. C, D, E : κατά; H : μετά. — 10. Cf. XLII, 44.

11. A, F, G, I, K ; Reim., Sturz et Bekk., B : ἐάσειεν ; vulg. et C, D, E, H : εἴασεν. — 12. Cf. XLIII, 1 et suiv.

13. D : δέ. — 14. Cf. XLII, 41, 43 et 48.

οἱ πεμφθέντα[1], καὶ ἐξ αὐτῶν τόν τε Καίσαρα ἐν τῇ Ἀφρικῇ ἡττῆσθαι καὶ ἀπολωλέναι διήγγελλε, καὶ ἑαυτῷ τὴν ἀρχὴν τῆς Συρίας προστετάχθαι ἔλεγε. Κἀκ τούτου τήν τε Τύρον μετὰ τῶν προπαρεσκευασμένων[2] κατέλαβε· κἀντεῦθεν πρὸς τὰ τοῦ Σέξτου στρατόπεδα προσχωρῶν, περιέπεσεν αὐτῷ, καὶ ἡττηθεὶς ἐτρώθη. Παθὼν δὲ τοῦτο, κατὰ μὲν τὸ ἰσχυρὸν οὐκέτ' αὐτοῦ ἐπείρασε, τοῖς δὲ δὴ στρατιώταις προσπέμπων τινὰ τρόπον[3], οὕτω τινὰς αὐτῶν ἐσφετερίσατο, ὥστε καὶ αὐτόχειρας τοῦ Σέξτου γενέσθαι.

27. Ἀποθανόντος δὲ ἐκείνου, τό τε στράτευμα πᾶν, πλὴν ὀλίγων, προσηταιρίσατο· τοὺς γὰρ ἐν Ἀπαμείᾳ χειμάζοντας ἐπεδίωξε μὲν, ἐς Κιλικίαν προαποχωρήσαντας, οὐ μὴν καὶ προσεποιήσατο· καὶ ἐς τὴν Συρίαν ἐπανελθὼν, στρατηγός τε ὠνομάσθη, καὶ τὴν Ἀπάμειαν ἐκρατύνατο, ὅπως ὁρμητήριόν οἱ τοῦ πολέμου γένηται. Τήν τε ἡλικίαν οὐχ ὅτι τὴν ἐλευθέραν, ἀλλὰ καὶ τὴν τῶν δούλων κατέλεγε, καὶ χρήματα ἤθροιζε, καὶ ὅπλα παρεσκευάζετο[4]. Πράσσοντα δὲ αὐτὸν ταῦτα Γάϊός τις Ἀντίστιος[5] ἐς πολιορκίαν κατέκλεισε. Καὶ μετὰ τοῦτο ἀγχώμαλα ἀγωνιζόμενοι, καὶ μηδέτεροι ἰσχυρόν τι παραλαβεῖν δυνάμενοι, ἀσπόνδῳ διακωχῇ[6] πρὸς συμμάχων ἐπαγωγὴν διελύθησαν. Καὶ Αν-

1. D : πεμφέντα. — 2. D : προσπαρασκευασμένων; C : παρασκευασμένων.

3. Reiske : « Τρόπον suspectum. Videtur in eo nomen proprium servi aut alius cujusdam latere, quo internuntio Bassus utebatur. Si bene habet, videtur κρύφιον vel ἀπόῤῥητόν τινα τρόπον legendum esse. » Cette conjecture est très-ingénieuse et ne manque pas de vraisemblance. Cependant, des autorités citées par le *Thesaurus* d'Étienne (éd. Didot), dont plu-

d'après lesquelles il annonçait que César avait été défait et était mort en Afrique; le gouvernement de la Syrie, ajoutait-il, lui avait été confié à lui-même. Par cet artifice, il s'empara de Tyr avec l'aide des soldats qu'il avait mis dans ses intérêts; de là, marchant contre les troupes de Sextus, il tomba sur lui à l'improviste et fut mis en déroute et blessé. A la suite de cet échec, il n'essaya plus d'agir par la force; mais, par le moyen d'émissaires qu'il envoya aux soldats, il s'en concilia si bien un certain nombre qu'ils tuèrent Sextus de leur propre main.

27. Sextus mort, Bassus attira à lui toutes les troupes à peu d'exceptions près, car il poursuivit celles qui, étant en quartiers d'hiver à Apamée, s'étaient, avant son arrivée, retirées en Cilicie, sans pouvoir les amener à son parti. A son retour en Syrie, il prit le titre de préteur et fortifia la ville d'Apamée, pour s'en faire une place de guerre. Il leva, non-seulement parmi les hommes libres, mais aussi parmi les esclaves, ceux qui étaient en âge, ramassa de l'argent et se procura des armes. Il était ainsi occupé, quand un certain C. Antistius vint l'assiéger. Après des combats où la chance fut à peu près égale et où ni l'un ni l'autre ne purent obtenir aucun avantage sérieux, ils suspendirent la lutte bien que sans aucune convention, pour faire venir des

sieurs de Dion lui-même (cf. aussi l'*Index*), établissent que προσπέμπω est une expression consacrée pour signifier l'envoi de parlementaires et justifient le sens ici adopté dans la traduction. — 4. D, F, G, H : κατεσκευάζετο.

5. C. Antistius Reginus, lieutenant de César dans la guerre des Gaules. César en fait mention, VI, 1; VII, 83 et 90.

6. G : διοκωχῇ.

τιστίῳ μὲν ἔκ τε τῶν περιχώρων οἱ τὰ τοῦ Καίσαρος φρο-
R. p. 510. νοῦντες, καὶ ἐκ τῆς Ῥώμης στρατιῶται ὑπ' αὐτοῦ πεμφθέντες προσεγένοντο· τῷ δὲ δὴ Βάσσῳ ὁ Ἀλχαυδόνιος ὁ Ἀράβιος. Οὗτος γὰρ τῷ τε Λουκούλλῳ πρότερον, ὥσπερ εἴρηταί μοι[1], ὁμολογήσας, καὶ τοῖς Πάρθοις μετὰ τοῦτο κατὰ τοῦ Κράσσου συναράμενος, τότε παρεκλήθη μὲν ὑπ' ἀμφοτέρων· ἐλθὼν δὲ ἐς τὸ μέσον τῆς τε πόλεως[2] καὶ τῶν στρατοπέδων, πρίν τι ἀποκρίνασθαι σφίσι, τήν τε συμμαχίαν ἀπεκήρυξε, καὶ ἐπειδὴ ὁ Βάσσος ὑπερέβαλε[3] τοῖς χρήμασιν, ἐπεκούρησέ τε αὐτῷ, καὶ ἐν τῇ μάχῃ πολὺ τοῖς τοξεύμασιν ἐπεκράτησεν. Οἱ δὲ δὴ Πάρθοι ἦλθον μὲν καὶ αὐτοὶ τῷ Βάσσῳ ἐπίκλητοι, οὐ μέντοι καὶ ἐπὶ πολὺ αὐτῷ, διὰ τὸν χειμῶνα, συνεγένοντο· καὶ διὰ τοῦτο οὐδὲ ἔπραξάν τι ἀξιόλογον. Καὶ ὁ μὲν δυνηθείς τινα[4] χρόνον, ἔπειτα ὑπό[5] τε Μάρκου[6] Κρίσπου καὶ ὑπὸ Λουκίου Στατίου Μούρκου[7] αὖθις κατείρχθη[8].

28. Τοιούτων δὲ δὴ τῶν πραγμάτων αὐτοῖς ὄντων, ὁ Κάσσιος ἐπελθὼν[9], τάς τε πόλεις πάσας εὐθὺς[10] πρός τε τὴν δόξαν ὧν ἐν τῇ ταμιείᾳ ἐπεποιήκει, καὶ πρὸς τὴν λοιπὴν εὔκλειαν ᾠκειώσατο, καὶ τὰ στρατόπεδα[11] τά τε τοῦ

1. Cf. XXV, 2 (dans la présente édition, Fragm. CCCXXX, 2).

2. D : τῆς πόλεως, avec omission de τε.

3. A, B, D, I, K et Bekk.; vulg. : ὑπερέβαλλε. — 4. D : δυνηθεὶ τινά.

5. C : ἔπειθ' ὑπό. — 6. Reim. (*Addenda*) propose (cf. la note suivante) de lire Μαρκίου. — 7. Cassius recommande à Cicéron (Lettres Fam., XII, 12) Murcus et Crispus, qui avaient le titre d'*Imperator*. Appien donne à tort à ces deux généraux les noms de Ξέστιος Μοῦλκος au lieu de Sta-

renforts. Antistius eut pour lui ceux des habitants du pays qui étaient favorables à César, et les soldats que celui-ci envoya de Rome; Bassus, l'Arabe Alchaudonius. Alchaudonius, en effet, qui précédemment avait, comme je l'ai rapporté, traité avec Lucullus, et avait ensuite prêté secours aux Parthes contre Crassus, fut alors appelé par les deux partis à la fois; arrivé au milieu de la ville et des légions, avant de donner aucune réponse, il mit son alliance aux enchères, et, comme Bassus donnait davantage, il se joignit à lui et avec ses archers remporta un avantage signalé. Les Parthes aussi vinrent au secours de Bassus qui les avait appelés, sans cependant rester longtemps avec lui à cause de l'hiver; aussi ne fit-il rien d'important. Bassus, après avoir un instant eu l'avantage, fut ensuite assiégé par M. Crispus et par L. Statius Murcus.

28. Les choses étaient dans cet état, lorsque survint Cassius qui gagna aussitôt toutes les villes à sa cause, tant par la renommée de ce qu'il avait fait étant questeur que par toutes ses autres sortes de célébrité, et n'eut pas

tius, et de Μινούκιος Κρίσπος au lieu de Marcus Crispus. Cicéron (Philipp. XI, 12) donne les noms complets : L. Statius Murcus et Q. Marcius (cf. la note précédente) Crispus.

8. Sturz, s'appuyant de l'autorité d'Eustathe (Scholies sur l'Odyssée, p. 1387, 2), suivant lequel les Attiques écrivent εἴργω avec l'esprit doux dans le sens de κωλύω, et εἴργω avec l'esprit rude dans le sens de ἐγκλείω, voudrait écrire καθειρχθη. — 9. Cf. Josèphe, Guerre des Juifs, I, 9.

10. C, D : εὐθὺς πάσας. — 11. Bassus était assiégé par Murcus et Cris-

Βάσσου καὶ τὰ τῶν ἑτέρων οὐδὲν ἐπιπονήσας προσέθετο. Καὶ αὐτῷ καθ' ἓν μετὰ πάντων αὐτῶν αὐλιζομένῳ ὕδωρ ἐκ τοῦ οὐρανοῦ αἰφνίδιον πολὺ ἐπεγένετο· κἀν τούτῳ σύες ἄγριοι, ἐς τὸ στρατόπεδον κατὰ πάσας ἅμα τὰς πύλας ἐσπεσόντες, πάντα τὰ ἐν αὐτῷ ὄντα συνέχεαν καὶ συνετάραξαν· ὥστε τινὰς ἐκ τούτων τήν τε ἰσχὺν αὐτοῦ τὴν αὐτίκα, καὶ τὴν μετὰ ταῦτα καταστροφὴν τεκμήρασθαι. Παραλαβὼν οὖν[1] τὴν Συρίαν, ἐς τὴν Ἰουδαίαν ὥρμησε[2], πυθόμενος τοὺς στρατιώτας τοὺς ἐν τῇ Αἰγύπτῳ ὑπὸ τοῦ Καίσαρος καταλειφθέντας προσιέναι, καὶ ἐκείνους τε ἀκοντὶ[3] καὶ τοὺς Ἰουδαίους παρεστήσατο. Καὶ μετὰ τοῦτο τὸν μὲν Βάσσον[4] καὶ τὸν Κρίσπον, τούς τε ἄλλους τοὺς οὐκ ἐθελήσαντάς[5] οἱ συστρατεῦσαι, ἀπέπεμψε, μηδὲν ἀδικήσας· τῷ δὲ δὴ Στατίῳ τό τε[6] ἀξίωμα, μεθ' οὗ ἀφῖκτο, ἐτήρησε, καὶ προσέτι καὶ τὸ ναυτικὸν ἐπέτρεψεν[7]. Οὕτω μὲν καὶ ὁ Κάσσιος ἰσχυρὸς διὰ ταχέων ἐγένετο, καὶ τῷ τε Καίσαρι περὶ τῶν συναλλαγῶν, καὶ τῇ γερουσίᾳ περὶ τῶν παρόντων ὅμοια τῷ Βρούτῳ ἐπέστειλε. Καὶ αὐτῷ διὰ ταῦτα ἡ βουλὴ τήν τε ἀρχὴν τῆς Συρίας ἐβεβαίωσε, καὶ τὸν τοῦ Δολοβέλλου πόλεμον ἐψηφίσατο.

29. Οὗτος γὰρ ἐτέτακτο μὲν τῆς Συρίας ἄρχειν[8], καὶ

pus dans Apamée; ses légions envoyèrent malgré lui des députés à Cassius, et se rendirent à lui. Cassius lui-même écrit à Cicéron (XII, 12) : « Bassus misere noluit mihi legiones tradere. Quod nisi milites, invito eo, legatos ad me misissent, clausam Apameam tenuisset, quoad vi esset expugnata. » G : τὰ στρατόπεδον.

1. Bekker propose, en note, d'intercaler δ' entre Παραλαβὼν et οὖν.

de peine à s'adjoindre les légions de Bassus et celles des autres. Tandis qu'il avait toutes ses troupes campées dans un seul endroit, il tomba tout à coup du ciel une grande pluie, et, pendant ce temps, des sangliers, se précipitant par toutes les portes à la fois, renversèrent et bouleversèrent tout dans son camp; en sorte que quelques-uns virent dans ces sangliers un présage de la puissance qu'il allait obtenir sur le moment et de la catastrophe qui devait suivre. Maître de la Syrie, il marcha contre la Judée, où il avait appris que se dirigeaient les soldats laissés en Égypte par César, et les fit sans efforts passer, eux et les Juifs, dans son parti. Ensuite il congédia, sans leur faire aucun mal, Bassus, Crispus et les autres, qui refusaient de s'allier avec lui; quant à Statius, il lui conserva la dignité qu'il avait en venant le trouver, et, de plus, lui donna le commandement de sa flotte. Cassius, de la sorte, devint puissant en peu de temps; il écrivit à César en vue d'une réconciliation, et au sénat au sujet des affaires présentes une lettre semblable à celle de Brutus. C'est pourquoi le sénat lui confirma le gouvernement de la Syrie et lui décerna la conduite de la guerre contre Dolabella.

29. Le gouvernement de la Syrie avait été confié à

Cette addition est loin de répugner au style de Dion. — 2. Cf. le ch. suivant et Josèphe déjà cité (page 209, note 9). — 3. A, F, K : ἀχονειτί.

4. D : τὸν μὲν Βάσσος.

5. C : ἐθελήσοντας. — 6. D : Στατίῳ τότε.

7. Cf., plus bas, ch. 30.

8. Cf. XLV, 15.

E. p. 511. τὴν ἔξοδον ὑπατεύων ἐποιεῖτο[1], χρόνιος δὲ διά τε τῆς Μακεδονίας καὶ διὰ[2] τῆς Θράκης ἐς τὴν Ἀσίαν τὸ ἔθνος[3] κομισθεὶς, καὶ ἐκεῖ ἐνδιέτριψεν[4]. Ἐπειδή τε ἐνταῦθα ἔτι ὄντι αὐτῷ τὸ δόγμα ἠγγέλθη, πρὸς μὲν τὴν Συρίαν οὐ προεχώρησεν, αὐτοῦ δὲ δὴ καταμείνας, τὸν Τρεβώνιον οὕτω μετεχειρίσατο, ὥστε δόξαν οἱ εὐνοίας[5] πλείστην παρασχεῖν, καὶ τήν τε τροφὴν τοῖς στρατιώταις παρ' ἐκόντος αὐτοῦ λαβεῖν, καὶ τὴν δίαιταν ἀδεῶς σὺν αὐτῷ ποιεῖσθαι. Ἐπειδή τε ἔν τε τῷ θαρσοῦντι διὰ ταῦτ' ἐγένετο, καὶ φυλακὴν οὐδεμίαν ἑαυτοῦ ἐποιεῖτο, τήν τε Σμύρναν, ἐν ᾗ ἦσαν, νυκτὸς ἐξαπιναίως κατέλαβε, καὶ ἐκεῖνον ἀποκτείνας τὴν κεφαλὴν αὐτοῦ πρὸς τὴν τοῦ Καίσαρος εἰκόνα ἔῤῥιψε· κἀκ τούτου πᾶσαν τὴν Ἀσίαν κατέσχε. Πυθόμενοι[6] δὲ ταῦτα οἱ ἐν οἴκῳ Ῥωμαῖοι, πόλεμον αὐτῷ ἐπήγγειλαν[7]· οὐδέπω γὰρ ὁ Καῖσαρ οὔτε τὸν Ἀντώνιον ἐνενικήκει, οὔτε τὰ ἐν τῷ ἄστει διὰ χειρὸς ἐπεποίητο. Καὶ τοῖς τε συνοῦσίν οἱ ῥητὴν ἡμέραν ἐς ἔκλειψιν τῆς φιλίας αὐτοῦ προεῖπον, ἵνα μὴ καὶ ἐκεῖνοι ἐν ἐχθρῶν μοίρᾳ γένωνται· καὶ τὴν ἀντίταξιν τόν τε πόλεμον τὸν πρὸς αὐτὸν τὸ μὲν σύμπαν τοῖς ὑπάτοις προσέταξαν, ἐπειδὰν τὰ παρόντα κατορθώσωσι, ποιήσασθαι, τὸν γὰρ Κάσσιον οὐδέπω τὴν Συρίαν ἔχοντα ἤδεσαν· ἵνα δὲ μὴ[8] ἐπὶ μείζων

1. Cf. XLIV, 53 et 22. — 2. F. et Bekk.; vulg. om.

3. Xyl. veut lire ἔτος; « ut, dit-il, ad nomen χρόνιος referatur, *anno fere circumacto*, » mais « haec neutiquam verisimilia, » pour me servir de l'expression de Reimarus.

4. C, D : ἐδιέτριψεν.

Dolabella, et il était consul quand il partit de Rome, mais, s'étant attardé en traversant la Macédoine et la Thrace pour se rendre dans la province d'Asie, il y prolongea son séjour. La nouvelle du sénatus-consulte, qui lui parvint lorsqu'il y était encore, fit qu'au lieu d'aller en Syrie, il resta en Asie, où il s'empara si bien de l'esprit de Trébonius que, lui ayant donné une haute opinion de sa bienveillance à son égard, il reçut pour ses troupes des vivres qui lui furent volontairement fournis, et vécut sans crainte en société avec lui. Comme, par suite de ces rapports, Trébonius était plein de confiance et ne se tenait pas sur ses gardes, Dolabella s'empara tout à coup, la nuit, de Smyrne où ils résidaient, tua Trébonius, dont il jeta la tête au pied de la statue de César, et se rendit ensuite maître de toute l'Asie. A Rome, quand on fut instruit de ces événements, on déclara la guerre à Dolabella; car César n'avait encore ni vaincu Antoine ni mis la main au gouvernement de la République. On fixa un terme à ceux qui étaient avec lui pour renoncer à son amitié sous peine d'être, eux aussi, traités en ennemis; les consuls reçurent ordre de prendre la conduite générale de la guerre contre lui, quand ils auraient terminé les affaires présentes, car on ignorait encore que Cassius était en possession de la Syrie ; les gouverneurs des pro-

5. C, D om. : τὸν Τρεβώνιον... εὐνοίας. — 6. D : παθόμενοι.

7. Cicéron était l'auteur du décret. Cf. Philipp., XI, 12.

8. A, B, G, K, approuvés par Sturz, et Bekk.; dans la vulgate et dans les autres mss., la négation μὴ, au lieu d'être placée ici, l'est plus bas devant αὐξήθη.

ἐν τῷ μεταξὺ χρόνῳ αὐξηθῇ, τοῖς τῶν προσόρων ἐθνῶν ἄρχουσιν ἐνεχείρισαν· καὶ μετὰ τοῦτο μαθόντες τὰ κατὰ τὸν Κάσσιον, πρὶν καὶ ὁτιοῦν ὑπ' ἐκείνων πραχθῆναι, ταῦθ', ἅπερ εἶπον[1], ἐψηφίσαντο.

30. Ὁ δ' οὖν Δολοβέλλας, ἐγκρατὴς οὕτω τῆς Ἀσίας γενόμενος, ἐς τὴν Κιλικίαν ἦλθε, τοῦ Κασσίου ἐν τῇ Παλαιστίνῃ[2] ὄντος, καὶ τοὺς Ταρσέας ἑκουσίους[3] προσλαβών, φρουρούς τινας αὐτοῦ ἐν Αἰγέαις[4] ὄντας ἐνίκησε, καὶ ἐς τὴν Συρίαν ἐνέβαλε[5]. Καὶ τῆς μὲν Ἀντιοχείας ὑπὸ τῶν ἐμφρουρούντων αὐτὴν ἀπεκρούσθη[6]· τὴν δὲ Λαοδίκειαν[7] ἁμαχὶ, διὰ τὴν φιλίαν αὐτῶν, ἣν πρὸς τὸν Καίσαρα τὸν πρότερον[8] εἶχον, προσεποιήσατο. Κἀκ τούτων ἡμέρας τινὰς ἰσχύσας (τά τε γὰρ ἄλλα καὶ τὸ ναυτικὸν αὐτῷ διὰ ταχέων ἐκ τῆς Ἀσίας ἐπῆλθε), διέβαλεν[9] ἐς Ἄραδον, ὅπως καὶ παρ' ἐκείνων καὶ χρήματα καὶ ναῦς λάβῃ· κἀνταῦθα ἀποληφθεὶς[10] μετ' ὀλίγων ἐκινδύνευσε. Διαφυγὼν δ'[11] οὖν, ἀπήντησέ τε τῷ Κασσίῳ προσελαύνοντι, καὶ συμβαλὼν αὐτῷ ἡττήθη.
R.p.512. Κατακλεισθείς τε ἐς τὴν Λαοδίκειαν ἐπολιορκεῖτο[12], τῆς μὲν ἠπείρου παντελῶς εἰργόμενος (ἄλλοι τε γὰρ τῷ Κασσίῳ,

1. C : ταῦτα ἅπερ. — 2. Cf. ch. 28 ; et Appien, IV, 63. Dans G, le commencement du chapitre se lit ainsi : Ὁ δ' οὖν Δολοβέλλας ἦλθεν, τοῦ Κασσίου ἐν τῇς Ἀσίας γενόμενος ἐς τὴν Κιλικίαν ἦλθε τοῦ Κασσίου ἐν τῇ Παλαιστίνῃ.

3. Cf. Appien, IV, 64, et Lentulus (Lettres Familières de Cicéron, XII, 13). G : ἑκουσίου.

4. « Ægeas, dit Reimarus, intellige, ad mare situm, quod Ægæ aliis, aliis Αἰγαῖαι vel Αἰγέναι, portum et navium stationem habebat. » Xyl. voudrait écrire (Bekk., en note, propose la même chose) Αἴγαις : « Sic

vinces limitrophes devaient, dans l'intervalle, l'empêcher d'augmenter ses forces ; lorsqu'ensuite on eut connaissance des succès de Cassius, avant que ces gouverneurs eussent pu rien faire, on rendit le décret dont j'ai parlé.

30. Quant à Dolabella, devenu ainsi maître de l'Asie, il vint en Cilicie, tandis que Cassius était en Palestine, et, ayant pris Tarse qui se rendit volontairement, vainquit plusieurs des garnisons que Cassius avait à Égées et se jeta sur la Syrie. A Antioche, il fut repoussé par les troupes qui gardaient la ville, mais il prit Laodicée sans coup férir, attendu l'amitié qu'avaient les habitants pour le premier César. Puissant durant quelques jours, par suite de ces succès (entre autres avantages, il avait vu sa flotte arriver promptement d'Asie), il passa à Aradus pour s'y procurer de l'argent et des vaisseaux ; là, surpris avec une poignée de gens, il courut risque de la vie. Dans sa fuite, il fut rencontré par Cassius, qui s'avançait contre lui, et défait dans l'engagement qui s'ensuivit. S'étant enfermé dans Laodicée, il en soutint le siége, complètement coupé du côté du continent (quel-

Stephanus, dit-il, de Urbibus, sic Plinius, lib. V, capite 27, sic alii. » Zon. : Αἰγαΐς. — 5. F : ἐνέβαλλε. — 6. Cf. Lentulus (Lettres Familières de Cicéron, XII, 14 et 15).

7. Cf. Appien, III, 78 et IV, 63. F : δὲ δὴ Λαοδικείαν.

8. C : τὸ πρότερον. — 9. A, C, I : διέβαλλεν.

10. F : ἀπολειφθείς.

11. B, D, Reiske, Sturz et Bekk. ; vulg. om.

12. Odd., B, D, G, H, K, Zon., Reim. et Bekk ; vulg. et A, C, E, F, I : ἐπορθεῖτο.

καὶ Πάρθοι τινὲς ἐβοήθησαν[1]), ταῖς δὲ δὴ ναυσὶ ταῖς τε Ἀσιαναῖς, καὶ ταῖς Αἰγυπτίαις, ἃς ἡ Κλεοπάτρα αὐτῷ ἔπεμψε[2], καὶ προσέτι καὶ τοῖς χρήμασι τοῖς παρ' αὐτῆς ἐλθοῦσιν ἰσχύων· μέχρις οὗ ὁ Στάτιος[3] τό τε ναυτικὸν συνεκρότησε, καὶ ἐς τὸν τῶν Λαοδικέων λιμένα ἐσπλεύσας, τούς τε ἀνταναχθέντας ἐκράτησε, καὶ ἀπέκλεισέν οἱ καὶ τὴν θάλασσαν. Τότε γὰρ ἀμφοτέρωθεν τῆς ἐπαγωγῆς τῶν ἐπιτηδείων εἰρχθεὶς, ἐπεκδρομὴν μὲν σπάνει τῶν ἀναγκαίων ἐποιήσατο, καταραχθεὶς δὲ διὰ ταχέων ἐς τὸ τεῖχος, καὶ προδιδόμενον αὐτὸ ἰδὼν, ἐφοβήθη μὴ ζῶν ἁλῷη καὶ ἑαυτὸν κατεχρήσατο[4]. Ὅπερ που καὶ Μάρκος[5] Ὀκταούϊος ὑποστράτηγος αὐτοῦ ἔπραξε. Καὶ οἱ μὲν ταφῆς ὑπὸ τοῦ[6] Κασσίου, καίπερ τὸν Γρεβώνιον ἄταφον ῥίψαντες[7], ἠξιώθησαν· οἵ τε συστρατεύσαντες[8] σφίσι, καὶ περιγενόμενοι, καὶ σωτηρίας καὶ ἀδείας, καίτοι πολέμιοι ὑπὸ τῶν οἴκοι Ῥωμαίων νομισθέντες, ἔτυχον. Οὐ μέντοι οὐδ' οἱ Λαοδικεῖς[9] κακόν τι, πλὴν συντελείας χρημάτων, ἔπαθον[10]. Ἀλλ' οὐδὲ ἄλλος οὐδεὶς, συχνῶν μετὰ τοῦτο τῷ Κασσίῳ ἐπιβουλευσάντων[11], ἐκολάσθη.

31. Ἐν ᾧ δὲ ταῦτ' ἐγίγνετο[12], οἱ Ταρσεῖς Τίλλιον

1. Suivant Appien, IV, 59, les Parthes secoururent Cassius parce que déjà, lors de l'expédition de Crassus, lorsqu'il n'était que le questeur de ce général, ils avaient reconnu en lui une prudence supérieure à celle de son chef. — 2. Cf. Appien, IV, 63. — 3. L. Marcus Statius dont il a été question au ch. 28.

4. D'après Appien, Dolabella donna l'ordre à un de ses gardes de lui couper la tête et de la porter à Cassius, mais le garde, après avoir tué Dolabella, se donna la mort à lui-même. Cf. l'Epitome de Tite Live, CXXI;

ques Parthes, entre autres peuples, prêtèrent secours à Cassius), mais resté puissant néanmoins par les vaisseaux d'Asie et par ceux d'Égypte que lui envoya Cléopâtre, et, de plus, par l'argent qui lui était venu de sa part; jusqu'au moment où Statius rassembla sa flotte, et, pénétrant dans le port de Laodicée, vainquit les troupes opposées à son attaque, et lui ferma également la mer. Ayant alors les vivres coupés des deux côtés, il fut réduit à tenter une sortie par manque du nécessaire, mais promptement rejeté dans ses murs, et voyant qu'on les livrait à l'ennemi, il craignit d'être pris vif et se donna la mort. M. Octavius, son lieutenant, se tua comme lui. Cassius leur accorda la sépulture, bien qu'ils eussent jeté Trébonius sans la lui accorder; ceux qui avaient combattu avec eux et qui survécurent, bien qu'à Rome on les eût déclarés ennemis de l'État, obtinrent la vie sauve et l'impunité. Les Laodicéens, non plus, n'eurent d'autre mal à souffrir qu'une contribution en argent. De même, aucun autre de ceux qui, dans la suite, conspirèrent en grand nombre contre Cassius ne fut puni.

31. Sur ces entrefaites, les habitants de Tarse es-

Velléius Paterc., II, 69; Orose, VI, 18. — 5. Cicéron (Philipp., XI, 2) et App. (IV, 62) l'appellent Marsus; aussi un commentateur de Cicéron voudrait-il lire ici Μάρσος.

6. C, D; vulg. om. — 7. Cf. Appien, III, 26. — 8. C, D : στρατεύσαντες.

9. D : Λαδικεῖς.

10. Appien, IV, 62, et Strabon, XVI, ne sont pas d'accord ici avec Dion sur la conduite tenue par Cassius. — 11. B, F, G, K · ἐπιβουλευσάντων τῷ Κασσίῳ. — 12. C : ἐγένετο.

Κίμβρον, φονέα τε τοῦ Καίσαρος ὄντα, καὶ τότε Βιθυνῶν ἄρχοντα, πρός τε τὴν τοῦ Κασσίου ἐπικουρίαν ἐπειγόμενον ἐπεχείρησαν τῶν τοῦ Ταύρου διόδων[1] εἴρξαι· προεκλιπόντες[2] τε αὐτὰς ὑπὸ δέους, παραχρῆμα μὲν ἐσπείσαντο αὐτῷ, νομίσαντες ἰσχυρὸν αὐτὸν εἶναι· μετὰ δὲ τοῦτο τὴν ὀλιγότητα τῶν στρατιωτῶν κατανοήσαντες, οὔτε τῇ πόλει αὐτὸν[3] ἐδέξαντο, οὔτε τὰ ἐπιτήδειά οἱ παρέσχον. Ἐπειδή τε φρούριόν τι[4] ἐπιτειχίσας σφίσιν, ἐς τὴν Συρίαν ἀπῆρε, προτιμότερον τὸ τῷ Κασσίῳ βοηθῆσαι τοῦ τὴν πόλιν αὐτὸς ἐξελεῖν ποιησάμενος· τοῦτό τε ἐπιστρατεύσαντες αὐτῷ παρεστήσαντο, καὶ πρὸς τὰ Ἀδανὰ, ὅμορά τε σφίσι καὶ διάφορα ἀεὶ ὄντα[5], ὥρμησαν, πρόφασιν, ὡς καὶ τὰ τοῦ Κασσίου πράσσοντα, ποιησάμενοι. Πυθόμενος δὲ ταῦτα ἐκεῖνος, πρότερον μὲν, ὡς ἔτι ὁ Δολοβέλλας ἔζη, Λούκιον Ῥοῦφον ἐπ' αὐτοὺς ἔπεμψεν· ὕστερον δὲ καὶ αὐτὸς ἦλθε, καὶ (ἤδη γὰρ ἁμαχὶ τῷ Ῥούφῳ προσεκεχωρήκεσαν) ἄλλο μὲν σφᾶς οὐδὲν δεινὸν εἰργάσατο, τὰ δὲ δὴ[6] χρήματα τά τε ἴδια καὶ τὰ δημόσια πάντα[7] ἀφείλετο[8]. Κἀκ τούτου Ταρσεῖς[9] ἐπαίνους τε παρὰ τῶν τριῶν ἀνδρῶν
R.p. 515 (ἐκεῖνοι γὰρ τὰ πράγματα ἤδη τὰ ἐν τῇ Ῥώμῃ εἶχον) καὶ ἐλπίδα ἀντιλήψεσθαί τι ἀντὶ τῶν ἀπολωλότων ἔλαβον· ἥ τε Κλεοπάτρα διὰ τὴν συμμαχίαν, ἣν τῷ Δολοβέλλᾳ ἔπεμψεν, εὗρετο τὸν υἱὸν[10], ὃν Πτολεμαῖον μὲν ὠνόμαζον[11],

1. Ce sont les fameuses Pyles, appelées par Strabon, XII, portes de la Cilicie. — 2. F : προεκλείποντες.

3. C, D : αὐτῶν. — 4. F et Bekk. ; vulg. : Ἐπειδὴ δὲ φρούριόν τι ; C, D : Ἐπειδή τι φρούριόν τι. — 5. F om. — 6. A, C, D, F, G om. — 7. A : πάντας.

sayèrent de barrer le passage du Taurus à Tillius Cimber, l'un des meurtriers de César, alors gouverneur de Bithynie, qui venait en hâte au secours de Cassius ; puis, ayant, par crainte, abandonné les défilés, ils firent sur le moment un traité avec Cimber, croyant qu'il était en force, mais s'étant ensuite aperçus du petit nombre de ses soldats, ils refusèrent de le recevoir dans leur ville et de lui fournir des vivres. Cimber, après avoir élevé une forteresse contre eux, s'en alla, estimant qu'il valait mieux secourir Cassius que d'emporter la ville ; les Tarsiens alors, se mettant en campagne, lui firent tête et marchèrent contre Adana, ville voisine et toujours en différend avec eux, sous prétexte qu'elle tenait pour Cassius. A cette nouvelle, Cassius envoya d'abord contre eux L. Rufus, car Dolabella vivait encore ; plus tard, il y vint en personne, et, comme déjà ils s'étaient rendus à Rufus sans combat, il ne leur fit aucun mal et se contenta d'enlever tout l'argent des particuliers et tout l'argent de l'État. A la suite de ces événements, les Tarsiens reçurent des triumvirs (ils étaient déjà en possession des affaires à Rome) des éloges et l'espérance d'un dédommagement pour ce qu'ils avaient perdu ; Cléopâtre, pour avoir envoyé des secours à Dolabella, obtint que son fils qu'on nommait Ptolémée

8. Appien, IV, 64, rapporte que Cassius leur imposa une contribution de mille cinq cents talents. — 9. Bekk. propose, en note, d'ajouter μὲν après ce mot. — 10. A, B, F : εὕρετό τε τὸν υἱόν.

11. Vulg. et les mss. : ὠνόμαζεν.

ἐπλάττετο δὲ ἐκ τοῦ Καίσαρος τετοκέναι, καὶ κατὰ τοῦτο Καισαρίωνα[1] προσηγόρευε, βασιλέα τῆς Αἰγύπτου κληθῆναι.

32. Κάσσιος δὲ, ἐπειδὴ τά τε ἐν τῇ Συρίᾳ καὶ τὰ ἐν τῇ Κιλικίᾳ κατεστήσατο, ἐς τὴν Ἀσίαν πρὸς τὸν Βροῦτον ἀφίκετο[2]. Ὡς γὰρ τήν τε συνωμοσίαν τῶν τριῶν ἀνδρῶν ἔμαθον[3], καὶ τὰ πραττόμενα ὑπ' αὐτῶν κατὰ σφῶν ᾔσθοντο[4], συνῆλθόν τε ἐκεῖ, καὶ τὰ πράγματα ἔτι καὶ μᾶλλον ἐκοινώσαντο· τήν τε γὰρ αἰτίαν τὴν τοῦ πολέμου τὴν αὐτὴν ἔχοντες, καὶ τὸν κίνδυνον τὸν αὐτὸν προσδεχόμενοι, τήν τε ὑπὲρ τῆς τοῦ δήμου ἐλευθερίας γνώμην μηδὲ τότε ἐξιστάμενοι[5], καὶ ἐκείνους, ἅτε καὶ τρεῖς ὄντας καὶ τοιαῦτα δρῶντας, καταλῦσαι[6] γλιχόμενοι, πολλῷ προθυμότερον κοινῇ πάντα καὶ ἐβουλεύοντο καὶ ἐποίουν. Καὶ τὸ μὲν σύμπαν, ἔγνωσαν ἔς τε τὴν Μακεδονίαν ἐλθεῖν, καὶ περαιωθῆναι αὐτοὺς ἐκεῖσε κωλῦσαι, ἢ καὶ ἐς τὴν Ἰταλίαν προδιαβῆναι· ἐπεὶ δὲ τά τε ἐν τῇ Ῥώμῃ καθίστασθαι ἔτ' ἐλέγοντο, καὶ πρὸς τὸν Σέξτον, ἅτε καὶ ἐγγύθεν ἐφεδρεύοντα σφίσιν[7], ἀσχολίαν ἕξειν ἐνομίζοντο, οὐκ εὐθὺς ταῦτ' ἐποίησαν, ἀλλ' αὐτοί τε περιϊόντες[8], καὶ ἑτέρους διαπέμποντες, τούς τε μηδέπω ὁμοφρονοῦντας σφίσι προσεκτῶντο[9], καὶ χρήματα καὶ στρατιώτας ἠθροίζον.

1. Suétone, 52, affirme que César avait permis à Cléopâtre de donner ce nom à son fils.

2. Selon Appien, IV, 63, Cassius avait d'abord eu l'intention de se diriger droit sur l'Égypte, afin de punir Cléopâtre d'avoir envoyé des secours à Dolabella; mais, cédant aux prières de Brutus, il préféra se rendre près

et qu'elle prétendait avoir eu de César et que, pour ce motif, elle appelait Césarion, fût proclamé roi d'Égypte.

32. Cassius, après avoir mis ordre aux affaires de Syrie et de Cilicie, se rendit en Asie auprès de Brutus. Car, lorsqu'ils apprirent la conjuration des triumvirs et furent informés des décrets portés contre eux, ils se réunirent en ce pays et agirent avec plus de concert : ayant le même motif de faire la guerre, s'attendant au même danger et n'ayant pas encore alors renoncé au dessein de défendre la liberté du peuple romain, pleins d'ailleurs du désir de renverser cette association de trois hommes qui commettaient de telles atrocités, ils n'en furent que plus disposés à unir leurs projets et leurs efforts. En somme, ils résolurent de se rendre en Macédoine et d'empêcher l'ennemi d'y arriver, ou de passer eux-mêmes les premiers en Italie. Mais comme on disait les triumvirs encore occupés à rétablir l'ordre à Rome, et que Sextus, qui les observait de près, leur donnerait, à ce qu'ils croyaient, assez à faire, au lieu d'exécuter immédiatement leur projet, ils se mirent à courir le pays et envoyèrent des émissaires chez les peuples qui ne s'étaient pas encore rangés à leur parti, afin de les attirer à eux et de ramasser de l'argent.

de lui en Asie. — 3. Cf. XLVI, 56. — 4. B, F : ἤσθετο. — 5. F om. : τήν τε. . . . . ἐξιστάμενοι.

6. Bekk.; vulg. et les mss. : προσκαταλῦσαι.

7. Cf. XLVI, 40; XLVII, 12, 37 et 38. — 8. G : περιιδόντες.

9. D : προσεκώντο (sic).

33. Καὶ αὐτοῖς οἱ μὲν ἄλλοι ταύτῃ[1] πάντες, καὶ οἱ πρόσθεν περιορώμενοι, παραχρῆμα ὡμολόγησαν· ὁ[2] δὲ δὴ Ἀριοβαρζάνης, οἵ τε Ῥόδιοι καὶ οἱ Λύκιοι, ἄλλως μὲν οὐκ ἀνθίσταντο[3], οὐ μέντοι καὶ συμμαχῆσαι ἤθελον. Ὑποπτεύσαντες οὖν αὐτοὺς τὰ τῶν ἐναντίων, ἐπειδὴ εὖ ὑπὸ τοῦ Καίσαρος τοῦ προτέρου ἐπεπόνθεσαν[4], φρονεῖν, καὶ φοβηθέντες μὴ καὶ[5] αὐτοί τε ἀπελθόντων σφῶν ταράξωσί τι, καὶ τοὺς ἄλλους συναποστήσωσι, γνώμην ἐποιήσαντο ἐπ' ἐκείνους πρῶτον τραπέσθαι, ἐλπίσαντες σφᾶς, ἅτε καὶ τοῖς ὅπλοις πολὺ αὐτῶν ὑπερέχοντες, καὶ ταῖς εὐεργεσίαις ἀφθόνως χρώμενοι, διὰ βραχέος πείσειν, ἢ καὶ βιάσεσθαι[6]. Καὶ Κάσσιος μὲν Ῥοδίους[7], καίτοι τοσοῦτον
R. p.514. ἐπὶ τῷ ναυτικῷ φρονοῦντας, ὥστε ἐς τε τὴν ἤπειρον ἐπ' αὐτὸν προδιαπλεῦσαι, καὶ τὰς πέδας[8] ἃς ἐκόμιζον, ὡς καὶ ζῶντας πολλοὺς αἱρήσοντες, ἐπιδεικνύναι σφίσι, ναυμαχίᾳ πρότερον μὲν περὶ Μύνδον, ἔπειτα δὲ πρὸς αὐτῇ τῇ Ῥόδῳ, διὰ τοῦ Στατίου[9], τῷ τε πλήθει καὶ τῷ μεγέθει τῶν νεῶν τὴν ἐμπειρίαν σφῶν κρατήσας, ἐνίκησε[10]· καὶ μετὰ τοῦτο καὶ αὐτὸς ἐς τὴν νῆσον περαιωθείς, ἄλλο μὲν κακὸν οὐδὲν[11] αὐτοὺς ἔδρασεν (οὔτε[12] γὰρ ἀντέστησάν οἱ, καὶ εὔνοιαν αὐτῶν ἐκ τῆς διατριβῆς, ἣν ἐκεῖ κατὰ παιδείαν ἐπεποίητο[13], εἶχε), τὰς δὲ δὴ ναῦς, καὶ τὰ χρήματα καὶ τὰ

1. F om. — 2. G om. — 3. F : οὐ καθίσταντο. — 4. César avait donné à Ariobarzane, roi de Cappadoce, une partie de l'Arménie (cf. XLI, 63). Il avait comblé les Rhodiens d'éloges et de récompenses, à cause de la science et de l'habileté de leurs matelots, et aussi du courage d'Euphranor dans la guerre d'Alexandrie (Hirtius, 11, 15, etc.). César avait également con-

33. Les autres peuples de ces contrées, même ceux dont on ne s'était pas occupé auparavant, se rangèrent tous immédiatement de leur côté; mais Ariobarzane, les Rhodiens et les Lyciens, sans opposer aucune résistance, refusèrent de s'allier avec eux. Brutus et Cassius les soupçonnant d'être, à cause des bienfaits qu'ils avaient reçus du premier César, favorables à leurs ennemis, et craignant qu'en leur absence ils n'excitassent quelques troubles et ne poussassent les autres à la défection, résolurent de se tourner contre eux d'abord, espérant, grâce à la grande supériorité de leurs armes et aux bienfaits qu'ils prodiguèrent, les réduire promptement par la persuasion ou par la force. Cassius, bien que les Rhodiens eussent de leur marine une opinion assez haute pour être allés avec leurs vaisseaux au-devant de lui jusque sur le continent et lui montrer les entraves qu'ils apportaient pour les nombreux captifs dont ils comptaient s'emparer, les défit néanmoins sur mer, d'abord auprès de Mynde, puis sous les murs mêmes de Rhodes, avec l'aide de Statius, le nombre et la grandeur des vaisseaux l'ayant emporté sur l'expérience. Après cela, il passa lui-même dans l'île, sans leur faire aucun mal (ils n'opposèrent pas de résistance, et le séjour qu'il avait fait parmi eux au temps de son éducation le rendait bienveillant à leur égard); il leur enleva seulement leurs vaisseaux et leurs richesses

firmé l'antique liberté des Lyciens. — 5. C, D, G, H om. — 6. A, B, F, I : βιάσασθαι. — 7. C, D om. — 8. C : καῖδας. — 9. L. Statius Murcus, chef de la flotte de Cassius (cf. 29). D, F : Σταδίου. — 10. Cf. Appien, IV, 71.

11. A, B, F, K; vulg. : οὐδὲν κακόν. — 12. B : ἔδρασε (οὔτε.

13. Cf., dans Appien, IV, 67 et 68, le discours d'Archélaüs à Cassius.

ὅσια καὶ τὰ ἱερά, πλὴν τοῦ ἅρματος τοῦ Ἡλίου[1], παρεσπάσατο[2]. Καὶ μετὰ ταῦτα καὶ τὸν Ἀριοβαρζάνην συλλαβὼν ἀπέκτεινε.

34. Βροῦτος δὲ τό τε κοινὸν τῶν Λυκίων στράτευμα ἀπαντῆσαν αὐτῷ πρὸς τὰ μεθόρια μάχῃ τε ἐκράτησε, καὶ συγκαταφυγὸν[3] ἐς τὸ ἔρυμα, αὐτοβοεὶ εἷλε· καὶ τῶν πόλεων τὰς μὲν πλείους ἀμαχὶ[4] προσηγάγετο, Ξάνθον δὲ ἐς πολιορκίαν κατέκλεισε[5]. Καὶ αὐτῶν ἐξαίφνης[6] ἐκδραμόντων, καὶ πῦρ ἐς τὰς μηχανὰς ἐμβαλόντων, τά τε τοξεύματα καὶ ἀκόντια ἅμα ἐφέντων[7], ἐς πᾶν κινδύνου ἀφίκετο[8]. Κἂν πασσυδὶ ἀπώλετο[9], εἰ μὴ δι' αὐτοῦ τοῦ πυρὸς ὠσάμενοι οἱ στρατιῶται προσέμιξαν αὐτοῖς ἀπροσδόκητοι γυμνητεύουσι, καὶ ἐκείνους τε ἐς τὸ τεῖχος κατήραξαν, καὶ αὐτοὶ συνεσπεσόντες σφίσι, τοῦ τε πυρὸς ἐς οἰκίας τινὰς ἐνέβαλον[10], καὶ τοὺς μὲν ὁρῶντας τὸ γιγνόμενον προκατέπληξαν, τοῖς δ' ἄπωθεν οὖσι δόξαν ὡς καὶ πάντα ἄρδην ἠρηκότες παρέσχον· ἐκ γὰρ τούτου καὶ οἱ ἐπιχώριοι τὰ λοιπὰ[11] ἐθελονταὶ συγκατέπρησαν, καὶ ἀλλήλους οἱ πλείους ἀνεχρήσαντο. Μετὰ δὲ τοῦτο πρὸς τὰ

1. Sur le culte du Soleil à Rhodes, cf. les auteurs cités dans la note 157 de Reimarus. — 2. Cf. Appien, IV, 73. D'après la Chronique d'Eusèbe, Cassius pilla les temples des Rhodiens, à qui, suivant Orose, VI, 18, il ne laissa que la vie. — 3. D, E, Paulmier, Sturz (tome V, note 159*, bien que, dans le texte, il laisse subsister συγκαταφυγών) et Bekk.: les autres mss. : συγκαταφυγών, que Reim. défend par le rapprochement avec (XLIII, 8) σφίσι φυγοῦσιν ἐς τὸ ἔρυμα συνεσπεσών αὐτοβοεὶ εἷλεν. Mais l'idée de fuite domine ici, et ce mot doit se rapporter à στράτευμα comme ἀπαντῆσαν qui précède. Je maintiens donc συγκαταφυγόν. — 4. D : μαχεί.

5. A, B, F, G, K; vulg. et les autres mss. : κατέστησε. Sur le siége de

tant profanes que sacrées, à l'exception du char du Soleil. Quant à Ariobarzane, dont il s'empara ensuite, il le fit mettre à mort.

34. Brutus, de son côté, défit dans une bataille l'armée commune des Lyciens qui était venue à sa rencontre, lui prit d'emblée, sur ses frontières mêmes, son camp où elle s'était réfugiée; puis il s'empara de la plupart des villes sans coup férir, mais il dut investir Xanthe. Les Xanthiens, dans une sortie, ayant lancé le feu sur ses machines et décoché des flèches et des javelots, lui firent courir le plus grand danger. Bien plus, il était perdu sans ressource, si ses soldats, sautant tout à coup à travers les flammes, n'eussent, contre toute attente, fondu sur l'ennemi armé à la légère et ne l'eussent refoulé dans l'enceinte de ses murs, où, se précipitant avec lui, ils lancèrent le feu sur quelques maisons, et frappèrent de terreur ceux qui assistaient à ce spectacle, tandis qu'à ceux qui étaient au loin ils donnaient lieu de croire que tout était pris; car alors les habitants eux-mêmes incendièrent volontairement le reste, et la plupart se donnèrent la mort les uns aux autres.

Xanthe et sur ce qui s'y passa, cf. Appien, IV, 77 et suiv.; Plutarque, Brutus, 30 et 31.

6. G : ἐξείφνης.

7. A, B, G et Bekk.; Sturz est loin de blâmer cette leçon; F. ἀφέντων, I : ἀναβαλλόντων; vulg. et C, D, E, H, K : βαλόντων. — 8. D : πανσσυδὶ ἀπόλετο.

9. « Τοῦ τε πυρὸς ἐς οἰκίας τινὰς ἐνέβαλον. Suspecta hæc videri possint, dit Reimarus, quia modo dixerat Dio καὶ πῦρ ἐς τὰς μηχανὰς ἐμβαλόντων. Sed tamen τοῦ πυρὸς stare potest, si suppleas τί. » — 10. om.

11. Bekk. propose en note de lire : τά τε λοιπά.

Πάταρα ὁ Βροῦτος ἦλθε· καὶ προεκαλέσατο[1] μὲν αὐτοὺς
R.p.515. ἐς φιλίαν· ὡς δ' οὐχ ὑπήκουσαν (οἵ τε γὰρ δοῦλοι καὶ τῶν ἐλευθέρων οἱ πένητες, οἱ μὲν ἐλευθερίας, οἱ δὲ χρεῶν ἀποκοπῆς προτετυχηκότες, ἐκώλυον σφᾶς συμβῆναι), τὸ μὲν πρῶτον τοὺς αἰχμαλώτους τῶν Ξανθίων (καὶ γὰρ ἐν γένει αὐτοῖς κατ' ἐπιγαμίαν πολλοὶ ἦσαν) ἔπεμψε σφίσιν, ἐλπίδα ἔχων δι' ἐκείνων αὐτοὺς προσάξεσθαι[2]· ἐπεὶ δ' οὐδὲν μᾶλλον ἐνέδοσαν, καίπερ προῖκα αὐτοῦ τοὺς ἀναγκαίους ἑκάστῳ διδόντος, πρατήριόν[3] τι ὑπ' αὐτὸ τὸ τεῖχος ἐν ἀσφαλεῖ κατεστήσατο, καὶ παράγων ἕνα[4] ἕκαστον τῶν πρώτων ἀπεκήρυττεν, εἴ πως διά γε τοῦτο[5] τοὺς Παταρέας[6] ὑπαγάγοιτο. Ὡς δ' οὐδὲ τότε αὐτῷ προσεχώρησαν, ὀλίγους ἀποδόμενος, τοὺς λοιποὺς ἀφῆκεν. Ἰδόντες δὲ τοῦτο οἱ ἔνδον, οὐκέτ' ἀντῆραν, ἀλλ' εὐθὺς αὐτῷ, ὡς καὶ ἀρετὴν ἔχοντι, προσέθεντο, μηδὲν ἔξω τῶν χρημάτων ζημιωθέντες. Καὶ τοῦτο καὶ οἱ Μυρεῖς ἐποίησαν, ἐπειδὴ τὸν στρατηγὸν αὐτῶν ἐν τῷ ἐπινείῳ ἀπέλυσε[7]. Καὶ οὕτω καὶ τἆλλα δι' ὀλίγου παρεστήσατο[8].

35. Ταῦτ' οὖν ἀμφότεροι πράξαντες, ἔς τε τὴν Ἀσίαν αὖθις ἦλθον, καὶ πάνθ' ὅσα ἐκ διαβολῶν[9], οἷα ἐν τοῖς

1. Reiske et Bekk., leçon que Sturz préférerait à la vulgate : προσεκαλέσατο.

2. Conjecture de Reim., confirmée par B, D, G, H, et adoptée par Sturz qui renvoie à Lobeck, *Parerga ad Phrynicum*, p. 736, et par Bekk.; vulg. et les autres mss. : προσάξασθαι.

3. Reimarus : « Xylander erudite *catastam* vertit, de qua voce Pitiscus ad Suetonii Grammaticos, c. 13. » Appien, IV, 81, d'accord avec Zonaras, X, 18, passe cette vente sous silence, et raconte que, Brutus

Après cela, Brutus se dirigea vers les Pataréens et les exhorta à être ses amis ; comme ils ne l'écoutèrent pas (les esclaves et, parmi les hommes libres, les pauvres qui avaient obtenu, les uns la liberté, les autres l'abolition de leurs dettes, s'opposaient à un traité), il commença par leur envoyer les prisonniers xanthiens (beaucoup leur étaient parents par alliance), dans l'espoir de les amener par eux à son parti ; puis, s'apercevant qu'ils n'en étaient pas plus disposés à capituler, bien qu'il rendît à chacun ses parents sans rançon, il établit au pied même des murailles, dans un endroit sûr, un lieu d'exposition où il amena l'un après l'autre les principaux d'entre ses prisonniers, afin d'arriver par là à émouvoir les Pataréens. Ce moyen ne lui ayant pas réussi davantage, il se décida, après en avoir vendu un petit nombre, à mettre le reste en liberté. Voyant cela, ceux qui étaient dans l'intérieur de la ville cessèrent la résistance et embrassèrent aussitôt sa cause comme celle d'un honnête homme, sans qu'il leur infligeât d'autre châtiment qu'une amende pécuniaire. Les Myriens les imitèrent également après qu'il eut relâché leur stratége fait prisonnier dans le port maritime. Le reste du pays ne tarda pas à se soumettre de même.

35. Ces exploits accomplis, ils revinrent l'un et l'autre en Asie ; puis, après s'être, dans un entretien particulier,

ayant laissé aux habitants de Patare un jour pour réfléchir, le lendemain, lorsqu'il se présenta, tous lui crièrent du haut des remparts qu'ils étaient prêts à obéir à ses ordres. — 4. C, D, om.

5. Sturz préférerait τούτου. — 6. A, B, G : Παταραίας ; F : Παταρευίας.

7. Lentulus (Appien, IV, 82), lieutenant de Brutus, après avoir brisé la chaîne qui fermait l'ouverture du port, entra dans la ville d'Andriaca, port de Myra. — 8. B, G et Bekk. ; vulg. et les autres mss. : κατεστήσατο.

9. B, F : διαβολήν.

τοιούτοις φιλεῖ συμβαίνειν[1], ὕποπτα πρὸς ἀλλήλους εἶχον, ἔς τε τὸ μέσον καὶ καταμόνας προενεγκόντες[2], καὶ διαλυσάμενοι, ἐς τὴν Μακεδονίαν ἠπείγοντο. Καὶ αὐτοὺς Γαΐός τε Νωρβανὸς καὶ Δεκίδιος Σάξας[3] ἔφθησαν, τόν τε Ἰόνιον, πρὶν τὸν[4] Στάτιον ἐλθεῖν, περαιωθέντες, καὶ πᾶσαν τὴν μέχρι τοῦ Παγγαίου[5] γῆν προκατασχόντες, καὶ πρὸς τοῖς Φιλίπποις στρατοπεδευσάμενοι. Τὸ δὲ δὴ ἄστυ τοῦτο παρά τε τῷ Παγγαίῳ καὶ παρὰ τῷ Συμβόλῳ κεῖται· Σύμβολον γὰρ τὸ χωρίον ὀνομάζουσι, καθ' ὃ τὸ ὄρος ἐκεῖνο[6] ἑτέρῳ τινὶ[7] ἐς μεσόγειαν ἀνατείνοντι συμβάλλει· καὶ ἔστι μεταξὺ Νέας πόλεως καὶ τῶν Φιλίππων· ἡ μὲν γὰρ πρὸς τῇ θαλάσσῃ, καταντιπέρας Θάσου ἦν, ἡ δὲ ἐντὸς
B p.516. τῶν ὀρῶν, ἐπὶ[8] τῷ πεδίῳ πεπόλισται. Καὶ (ἔτυχον γὰρ τὴν συντομωτάτην αὐτοῦ ὑπερβολὴν ὅ τε[9] Σάξας καὶ ὁ Νωρβανὸς προκαταλαβόντες[10]) ταύτῃ μὲν ὁ Βροῦτος ὅ τε Κάσσιος οὐδὲ ἐπείρασαν διαβῆναι, ἑτέραν δέ τινα μακροτέραν κατὰ τὰς Κρηνίδας ὠνομασμένας περιελθόντες, φυλακῇ μὲν καὶ ἐκεῖ ἐνέτυχον· βιασάμενοι δὲ αὐτὴν, εἴσω τε τῶν ὀρῶν ἐγένοντο, καὶ πρὸς τὴν πόλιν κατὰ τὰ μετέωρα ἐπιπαρελθόντες, ἐνταῦθα χωρὶς ἑκάτερος, ὡς γε τῷ λόγῳ εἰπεῖν, ἐστρατοπεδεύσαντο[11]· τῷ γὰρ ἔργῳ καθ'

1. A, B, C, D, F, K et Bekk.; vulg. et E, G, H, I : συμβαίνειν φιλεῖ.

2. L'Epitome de Tite-Live, CXXII : « Coïerunt Smyrnæ uterque ad ordinanda belli futuri consilia. » Plutarque, Brutus, 28 : Περὶ Σμύρναν ἀλλήλοις ἐνετύγχανον, ἀφ' οὗ πρῶτον ἐν Πειραιεῖ χωρισθέντες ὥρμησαν, ὁ μὲν ἐς Συρίαν, ὁ δὲ ἐς Μακεδονίαν. Sturz ne partage pas ici l'opinion de Fabricius; il aime mieux, comme Penzel, entendre cet entretien de l'entrevue de Brutus et de Cassius à Sardes. Il s'appuie sur ces mots du ch. 34, dans

mutuellement exposé tous les sujets de défiance que les calomnies, ainsi que cela arrive ordinairement en semblables occurrences, leur avaient inspirés à l'un contre l'autre, et les avoir dissipés, ils se hâtèrent de se rendre en Macédoine. Ils y furent devancés par C. Norbanus et Décidius Saxa, qui traversèrent la mer Ionienne avant l'arrivée de Statius, occupèrent tout le pays jusqu'au Pangée et établirent leur camp près de Philippes. Cette ville est située au pied du Pangée et du Symbolon: ce lieu est en effet nommé Σύμβολον (signe de ralliement) parce que cette montagne συμβάλλει (rallie) une autre montagne qui s'étend dans l'intérieur des terres; il se trouve entre Naples et Philippes. L'une de ces villes est au bord de la mer, en face de Thasos; l'autre est bâtie dans l'intérieur des montagnes, au milieu d'une plaine. Aussi Brutus et Cassius (Saxa et Norbanus s'étaient d'avance saisi de ce passage qui était le plus court) n'essayèrent pas même de traverser de ce côté: ils firent le tour jusqu'à un autre passage plus long, vers l'endroit nommé les Crénides, et trouvèrent là aussi une garnison; cette garnison forcée, ils parvinrent dans l'intérieur de la montagne, et, s'approchant de la ville par les hauteurs, y assirent leur camp chacun séparément, si l'on peut s'exprimer ainsi, puisque, en réalité, ils n'eurent qu'un seul et unique retranchement. Ils divi-

Plutarque : Κάσσιον δὲ Βροῦτος εἰς Σάρδεις ἐκάλει.

3. F le nomme Δεκέλιος Σάξας; D, H : Δεκέλιος Σέξας; E, Δεκίλιος Σέξας. De même partout. Le nom complet de ce personnage est L. Décidius Saxas; il en est fait mention dans la XIII^e^ Philippique et dans le livre CXXVII de l'Epitome de Tite-Live. — 4. G om. — 5. F : Παγχαίου, et plus bas Παγχαίῳ. 6. Le Pangée. — 7. L'Hémus. — 8. Bekk., en note, propose ἐν. 9. C : τι. — 10. Cf. Appien, IV, 87. — 11. C : ἐστρατοπεδεύσατο.

ἓν ηὐλίσαντο. Τὰ μὲν γὰρ στρατόπεδα, ὡς καὶ εὐτακτότεροι οἱ στρατιῶται καὶ ῥᾴους ἄρχειν ὦσι, διχῇ κατέστη· παντὸς δὲ δὴ καὶ τοῦ διὰ μέσου αὐτῶν καὶ τάφρῳ καὶ σταυρώματι περιληφθέντος, εἷς τε ὁ πᾶς περίβολος ἀμφοτέρων ἐγένετο, καὶ ἐν κοινῷ τὴν ἀπ' αὐτοῦ ἀσφάλειαν εἶχον[1].

36. Ἦσαν δὲ πολὺ τῷ πλήθει[2] τῶν ἐναντίων τῶν τότε παρόντων[3] καθυπέρτεροι· καὶ διὰ τοῦτο τό τε[4] Σύμβολον, ἐκκρούσαντες αὐτούς, κατέλαβον[5], καὶ τὰ ἐπιτήδεια ταύτῃ τε δι' ἐλάττονος ἐκ τῆς θαλάσσης ἐπήγοντο, καὶ ἐκ τοῦ πεδίου καταθέοντες ἐλάμβανον. Ὁ γὰρ Νωρβανὸς ὅ τε Σάξας[6] πανστρατιᾷ μὲν οὐδὲ ἐτόλμησαν αὐτοῖς προσμίξαι, ἐκπέμποντες δ' ἱππέας ἐκδρόμους ὅπη[7] παρείκοι[8], οὐδὲν ἐπέραινον· ἀλλ' αὐτοί τε διὰ φυλακῆς μᾶλλον ἢ διὰ κινδύνων τὸ στρατόπεδον ἐποιοῦντο, καὶ τὸν Καίσαρα τόν τε Ἀντώνιον σπουδῇ μετεπέμποντο. Οὗτοι γὰρ τέως μὲν περί τε τοὺς Ῥοδίους καὶ περὶ[9] τοὺς Λυκίους, τόν τε Κάσσιον καὶ τὸν Βροῦτον ἀσχόλους ὄντας ἐπυνθάνοντο, ἐπὶ πλεῖόν τε αὐτοὺς ἔδοξαν σφίσι προσπολεμήσειν, καὶ οὐκ ἠπείχθησαν, ἀλλὰ τόν τε Σάξαν καὶ τὸν Νωρβανὸν ἐς τὴν Μακεδονίαν προέπεμψαν. Αἰσθόμενοι δὲ αὐτοὺς

1. C, D om. — 2. C : πολλοὶ (en marge : πολὺ) τῷ πλήθει ; F : τῷ πλήθει πολύ. — 3. Les mots τῶν τότε παρόντων sont en marge dans F.

4. F et Bekk. ; vulg. om.

5. Ponctuation de Xyl., adoptée par Leuncl. et les édit. subséq. ; Robert et Henri Étienne : Σύμβολον ἐκκρούσαντες, αὐτοὺς κατέλαβον ; Odd., après avoir proposé : τοὺ Συμβούλου ἐκκρούσαντες ; τὸν τόπον κατέλαβον, s'est ensuite rangé à l'opinion de Xylander. Sur le fait historique, cf. Plu-

sèrent, en effet, leur camp en deux, afin d'avoir les soldats mieux rangés et plus dociles au commandement; mais, tout l'espace compris entre eux étant entouré d'un fossé et d'une palissade, la ligne d'enceinte tout entière des uns et des autres n'en formait qu'une seule et leur donnait une commune sûreté.

36. Ils étaient bien supérieurs en nombre aux ennemis alors présents; aussi ils s'emparèrent du Symbolon après les avoir délogés de cette position, reçurent plus promptement les vivres par la voie de la mer et en tirèrent de la plaine par des incursions. Car Norbanus et Saxa n'osèrent pas engager contre eux une action générale, et se contentèrent de les faire charger, à l'occasion, par leur cavalerie, sans rien tenter de décisif; ils songeaient plutôt à garder leur armée qu'à l'exposer aux chances d'un combat, pendant qu'ils mandaient à César et à Antoine de venir en hâte. Ceux-ci, tant que par leurs informations ils surent Brutus et Cassius occupés avec les Lyciens et les Rhodiens, pensaient que la guerre était encore éloignée, et, sans se presser, ils avaient envoyé en avant Saxa et Norbanus en Macédoine. Mais, quand ils

tarque, Brutus, 38. — 6. F : Σέξας, ici; de même les mss. cités plus haut.

7. Coisl. : ὅποι.

8. Sturz : « Idem valet, quod ὅπου ἦν δυνατὸν, et totus locus, mutilus quidem, a Suida est allatus in v. παρείκοι, judice Toupio vol. II Emendationum in Suidam, p. 30. Suidas enim hæc habet : πέμποντες ἱππέας ἐκδρόμους, ὅπου παρείκοι, τροφὰς ἐλάμβανον, ὅπου ἦν δυνατόν. » C, D, F : παρήκοι; H : παρήκει. — 9. F om.

ἐαλωκότας[1], τοῖς μὲν Λυκίοις καὶ τοῖς Ῥοδίοις ἐπαίνους τε ἔδοσαν, καὶ χρήματα χαριεῖσθαι ὑπέσχοντο, αὐτοὶ δὲ ἐκ μὲν τῆς πόλεως εὐθὺς ἐξώρμησαν· ἐγχρονίσαντες δὲ, Ἀντώνιος μὲν περὶ Βρεντέσιον (ὑπὸ γὰρ τοῦ Στατίου[2] καθείργετο[3]), Καῖσαρ δὲ περὶ Ῥήγιον (πρὸς γὰρ[4] τὸν Σέξτον τήν τε Σικελίαν ἔχοντα, καὶ τῆς Ἰταλίας πειρῶντα[5], προαπετράπετο), διετρίβησαν.

37. Ὡς δ' οὖν οὗτός τε οὐκ εὐκαθαίρετος[6] ἔδοξεν εἶναι σφίσι, καὶ τὰ τοῦ Κασσίου τοῦ τε Βρούτου μᾶλλον αὐτοὺς ἤπειξε, μέρος μέν τι[7] τοῦ στρατοῦ πρὸς φρουρὰν τῆς Ἰταλίας κατέλιπον, τῷ δὲ δὴ πλείονι τὸν Ἰόνιον ἀσφαλῶς ἐπεραιώθησαν[8]· καὶ Καῖσαρ μὲν ἐν Δυῤῥαχίῳ νοσήσας[9]
Π. p. 517. ὑπελείφθη. Ἀντώνιος δὲ πρὸς τοὺς Φιλίππους ἦλασε, καὶ παραυτίκα μὲν ῥώμην τινὰ τοῖς σφετέροις παρέσχεν· ἐνεδρεύσας[10] δέ τινας τῶν ἐναντίων σιταγωγοῦντας, καὶ σφαλεὶς, οὐκέτ' οὐδ' αὐτὸς ἐθάρσει. Ὁ οὖν Καῖσαρ, πυθόμενος τοῦτο, καὶ δείσας ἑκάτερον, εἴτε τι ἐλαττωθείη καταμόνας συμβαλὼν, εἴτε καὶ κρατήσειεν (ἐκ μὲν γὰρ τοῦ τόν τε Βροῦτον καὶ τὸν Κάσσιον, ἐκ δὲ τοῦ τὸν Ἀντώνιον πάντως[11] ἐφ' ἑαυτὸν ἰσχύσειν ἐνόμισεν), ἠπείχθη, καίπερ καὶ τότε ἔτι[12] ἀῤῥωστῶν[13]. Κἀκ τούτου ἀνεθάρσησαν

1. D : ἐνωκότας, avec correction à la seconde syllabe.
2. Cf. ch. 33. G : Σταδίου. — 3. A, D, F, G, I : κατείργετο.
4. C. om. — 5. Cf. ch. 32. — 6. B, F, G : αὐθαιρέτους. — 7. F, H : τοι.
8. Au moment de partir pour la Macédoine (Plutarque, Antoine, 21, et Florus, IV, 7, 5), Antoine et Octave confièrent la défense de Rome à Lépidus.

virent les Lyciens et les Rhodiens soumis, ils leur donnèrent des éloges, leur promirent une gratification en argent, et partirent eux-mêmes aussitôt de Rome. Mais, s'étant attardés, Antoine à Brindes, où il était arrêté par Statius, et César à Rhégium, où il s'était porté contre Sextus qui occupait la Sicile et tentait de passer en Italie, ils perdirent du temps.

37. Or donc, comme Sextus ne leur semblait pas facile à vaincre, et que, du côté de Brutus et de Cassius, les affaires les pressaient plus vivement, ils laissèrent une portion de leur armée pour garder l'Italie, et, avec le gros de leurs troupes, passèrent sans danger la mer Ionienne. César étant tombé malade à Dyrrachium fut laissé en arrière, Antoine poussa jusqu'à Philippes et apporta sur-le-champ une certaine force aux siens ; mais un échec dans une embuscade contre quelques fourrageurs ennemis lui fit perdre courage à lui-même. A cette nouvelle, César, craignant également qu'Antoine n'essuyât une défaite en combattant isolément ou qu'il ne remportât une victoire (dans le premier cas, il voyait Brutus et Cassius, dans le second, Antoine tout-puissant contre lui), se hâta d'aller le rejoindre, bien qu'il se trouvât encore mal rétabli. Son arrivée rendit le courage aux

9. Cf Plutarque, Brutus, 38 et 41. — 10 D : παρέσχε· ἐνεῤῥεύσας.
11. G : πάντων. — 12. B om.
13. Sur la mauvaise santé d'Octave, on peut consulter Appien, IV, 108, Velléius Paterculus, II, 70, Suétone, 13, et Pline, VII, 41, qui, d'après le témoignage d'Agrippa et celui de Mécène, affirme qu'il était atteint d'hydropisie.

μὲν οἱ περὶ τὸν Ἀντώνιον· ἐπεὶ δ' οὐκ ἀσφαλὲς ἐφαίνετο τὸ μὴ οὐχ ἅμα πάντας αὐτοὺς αὐλίζεσθαι, ἔς τε χωρίον ἓν καὶ ἐς[1] ἔρυμα ἓν τὰ τρία στρατεύματα[2] συνήγαγον. Ἀντικαθημένων δὲ αὐτῶν ἀλλήλοις, ἐκδρομαὶ μὲν καὶ ἀντεπέξοδοι παρ' ἀμφοτέρων ὡς ἔτυχεν ἐγίγνοντο· μάχη δὲ ἐκ παρατάξεως οὐδεμία χρόνον τινὰ συνηνέχθη, καίτοι καὶ τοῦ Καίσαρος καὶ τοῦ Ἀντωνίου πάνυ συμβαλεῖν σπουδαζόντων· ταῖς τε γὰρ δυνάμεσι μᾶλλον τῶν ἐναντίων ἔρρωντο[3], καὶ τῶν ἐπιτηδείων οὐχ ὁμοίως αὐτοῖς[4] ηὐπόρουν[5] διὰ τὸ τῆς θαλάσσης, ἅτε τοῦ ναυτικοῦ σφῶν τῷ Σέξτῳ προσπολεμοῦντος, μὴ κρατεῖν.

38. Οὗτοι μὲν οὖν δὴ διά τε ταῦτα, καὶ διὰ τὸν Σέξτον, τήν τε Σικελίαν ἔχοντα, καὶ τῆς Ἰταλίας πειρῶντα[6], μὴ καὶ[7], χρονισάντων αὐτῶν, τήν τε Ἰταλίαν καταλάβῃ, καὶ ἐς τὴν Μακεδονίαν ἔλθῃ, ὤργων. Ὁ δὲ δὴ Κάσσιος ὅ τε Βροῦτος ἄλλως μὲν οὐκ[8] ὤκνουν τὴν μάχην (ὅσον γὰρ τῇ ῥώμῃ τῶν στρατιωτῶν ἠλαττοῦντο, τοσοῦτον τῷ πλήθει ἐπλεονέκτουν)· ἐκλογιζόμενοι δὲ τά τε ἐκείνων καὶ τὰ σφέτερα (σύμμαχοί τε γὰρ αὐτοῖς καθ' ἑκάστην ἡμέραν προσεγίγνοντο[9], καὶ τὴν τροφὴν ἄφθονον ὑπὸ[10] τῶν νεῶν εἶχον), ἀνεβάλλοντο[11], εἴ πως ἄνευ κινδύ-

1. D, E, H : om. — 2. Les deux corps d'Antoine et d'Octave, et celui qui avait été envoyé (ch. 36) d'avance avec Norbanus et Saxa.

3. Cette supériorité de forces, ici, doit s'entendre du courage et de la force physique des soldats, puisque, suivant Appien, IV, 108, Antoine et César n'avaient en plus de leurs dix-neuf légions, nombre égal de part et d'autre, que treize mille cavaliers, tandis que Brutus et Cassius en avaient vingt mille. Plutarque (Brutus, 38) rapporte même que l'armée de César

soldats d'Antoine, et, comme les deux chefs crurent qu'il y avait péril à camper séparément, ils réunirent leurs trois corps d'armée dans un seul endroit et dans un seul retranchement. Les camps ainsi placés vis-à-vis l'un de l'autre, il y eut, des deux côtés, quelques sorties et quelques escarmouches fortuites; mais, pendant quelque temps, il ne se livra aucune bataille rangée, bien que César et Antoine eussent hâte d'engager une action; car, s'ils étaient plus forts que l'ennemi par leurs troupes, ils avaient moins d'approvisionnements, attendu que, leur flotte se trouvant engagée contre celle de Sextus, ils n'étaient pas maîtres de la mer.

38. Ces motifs et la crainte que Sextus, qui occupait la Sicile et tentait de passer en Italie, ne s'emparât de ce pays, s'ils tardaient, et ne vînt en Macédoine, enflammaient leur impatience. Quant à Cassius et à Brutus, ils ne redoutaient pas un combat (car, s'ils étaient inférieurs pour la valeur des soldats, ils avaient l'avantage pour le nombre); d'un autre côté, considérant la situation de l'ennemi et la leur (chaque jour il leur arrivait des alliés, et leurs vaisseaux leur fournissaient des vivres en abondance), ils différaient dans l'espoir de remporter peut-être la victoire sans danger et sans

n'était pas peu inférieure en nombre; enfin Dion lui-même, dans les premières lignes du chapitre suivant, vient confirmer ce sens. — 4. D, H om.

5. C : εὐπόρουν. — 6. Ces mots τὸν Σέξτον... πειρῶντα se trouvent déjà textuellement à la fin du ch. 36. — 7. D, E, H : καὶ μή.

8. F om. — 9. F : προσεγένοντο. — 10. Sturz : ἀπό.

11. Leuncl., Reim., Sturz et Bekk.; C, D, E, H : ἐνεβάλλοντο. Xylander : ἐπεβάλλοντο.

νου καὶ φθόρου τινῶν[1] ἐπικρατήσειαν· ἅτε γὰρ δημεράσται τε ἀκριβῶς ὄντες, καὶ πρὸς πολίτας ἀγωνιζόμενοι, ἐκείνων τε οὐδὲν ἧττον ἢ τῶν συνόντων σφίσι διεσκόπουν, καὶ ἐπεθύμουν ἑκατέροις ὁμοίως καὶ τὴν σωτηρίαν καὶ τὴν ἐλευθερίαν παρασχεῖν. Χρόνον μὲν οὖν τινα διὰ ταῦτα ἀνέσχον, οὐκ ἐθέλοντες σφίσιν ἐς χεῖρας ἐλθεῖν· ὡς μέντοι τὰ στρατεύματα, ἅτε[2] ἐκ τοῦ ὑπηκόου[3] τὸ πλεῖστον ὄντα, τῇ τε τριβῇ βαρυνόμενα, καὶ τῶν ἀντιπολεμούντων καταφρονήσαντα, ὅτι τὸ καθάρσιον, τὸ πρὸ τῶν ἀγώνων γι-
B. p. 518. γνόμενον[4], ἐντὸς τοῦ ἐρύματος, ὡς καὶ δεδιότες ἐποιήσαντο[5], ἔς τε τὴν μάχην ὥρμησαν, καὶ διελαύνουν ὅτι, ἂν ἐπὶ πλεῖον[6] διατριφθῶσι, τό τε στρατόπεδον ἐκλείψουσι, καὶ διασκεδασθήσονται· οὕτω δὴ καὶ ἄκοντες συνέμιξαν.

39. Μέγιστον δὴ τὸν ἀγῶνα τοῦτον, καὶ ὑπὲρ πάντας τοὺς ἐμφυλίους τοὺς τοῖς Ῥωμαίοις γεγονότας οὐκ ἀπεικότως ἄν τις συμβῆναι νομίσειεν· οὐχ ὅτι καὶ τοῖς πλήθεσιν ἢ καὶ ταῖς ἀρεταῖς τῶν μαχεσαμένων διήνεγκεν[7] αὐτῶν (πολλῷ γὰρ καὶ πλείους καὶ ἀμείνους σφῶν πολλαχόθι ἠγωνίσαντο), ἀλλ' ὅτι περί τε τῆς ἐλευθερίας καὶ τῆς[8] δημοκρατίας τότε ὡς οὐ πώποτε, ἐπολέμησαν. Συνέπεσον μὲν γὰρ καὶ[9] αὖθις ἀλλήλοις, ὥσπερ καὶ πρότερον·

1. Reiske : « Τινῶν languet. Mallem abesse, aut cum τῶν πολιτῶν mutatum. » — 2. C om.

3. Il faut entendre ce mot des troupes auxiliaires et des provinces, par opposition aux légions, composées de citoyens romains, et aux alliés.

4. Dion rappelle cette lustration au ch. 40. — 5. F : ἐπονήσαντο ; G : ἐπεήσαντο.

6. C et Bekk. ; vulg. et les autres mss : πλείω.

perte d'hommes; car, comme ils aimaient véritablement le peuple et qu'ils combattaient contre des concitoyens, ils ne songeaient pas moins à leurs adversaires qu'à leurs propres soldats, et ils désiraient procurer aux uns et aux autres le salut et la liberté. Ils restèrent donc quelque temps en suspens, sans vouloir en venir aux mains. Cependant, comme leurs troupes, composées en majeure partie de peuples soumis, étaient fatiguées du retard et pleines de mépris pour des ennemis qui avaient fait dans l'intérieur des retranchements la lustration ordinaire avant une bataille comme s'ils y eussent été obligés par la frayeur, brûlaient de combattre, et parlaient, si l'on tardait plus longtemps, d'abandonner l'armée et de se séparer, ils se virent, malgré eux, contraints d'engager l'action.

39. Que cette bataille ait été la plus grande et la plus importante de toutes celles qui eurent lieu dans les guerres civiles entre les Romains, on peut justement se le figurer. Ce n'est pas qu'elle l'ait emporté par le nombre ou par la valeur des combattants (il y eut maintes fois en présence des combattants bien plus nombreux et bien plus braves); mais c'est que la liberté et la république étaient ici, plus qu'elles ne l'avaient jamais été, le motif de la guerre. On en vint donc de nouveau aux mains comme auparavant; mais, dans les

7. Leuncl., Rei-ke, Sturz et Bekk.; Reim. défend la vulgate διήνεγκαν : « Sequitur statim ἐπολέμησαν, adeoque ad bellantes Romanos ejus temporis refertur. » Reiske n'hésite pas à se prononcer pour Leuncl., qui rapporte διήνεγκεν à ἀγών : « Nam alias, dit-il, non habebit αὐτῶν quo pertineat. »

8. Bekk. : καὶ περὶ τῆς. Appien, IV, 108 : Ἐκρίθη γὰρ αὐτῶν ἡ πολίτεια παρ' ἐκεῖνο τὸ ἔργον μάλιστα, καὶ οὐκ ἐπανῆλθεν ἐς δημοκρατίαν ἔτι, etc.

9. Com.

ἀλλ' ἐκείνους μὲν τοὺς ἀγῶνας ὑπὲρ τοῦ τίνος ἐπακούσωσιν[1], ἐποιήσαντο, τότε δὲ οἱ μὲν ἐς δυναστείαν αὐτοὺς ἦγον, οἱ δὲ ἐς αὐτονομίαν ἐξηροῦντο. Ὅθεν οὐδ' ἀνέκυψεν[2] ἔτι[3] πρὸς ἀκριβῆ παῤῥησίαν ὁ δῆμος, καίπερ ὑπ' οὐδενὸς ἀλλοτρίου[4] ἡττηθεὶς (τὸ γάρ τοι ὑπήκοον, τό τε συμμαχικὸν, τὸ τότε αὐτοῖς παραγενόμενον, ἐν προσθήκης μέρει τοῦ πολιτικοῦ ἦν)· ἀλλ' αὐτός τε[5] ἑαυτοῦ κρείττων τε ἅμα καὶ ἥττων γενόμενος, καὶ ἔσφηλεν ἑαυτὸν καὶ ἐσφάλη, κἀκ τούτου τό τε δημοκρατικὸν συμπαρανάλωσε, καὶ τὸ μοναρχικὸν ἐκράτυνε. Καὶ οὐ λέγω ὡς οὐ συνήνεγκεν αὐτοῖς ἡττηθεῖσι τότε. Τί γὰρ ἄν τις ἄλλο περὶ αὐτῶν ἀμφοτέρωθεν μαχεσαμένων εἴποι, ἢ ὅτι Ῥωμαῖοι μὲν ἐνικήθησαν, Καῖσαρ δὲ ἐκράτησεν; Ὁμοφρονῆσαι μὲν γὰρ ἐν τῷ καθεστῶτι τρόπῳ τῆς πολιτείας οὐκέθ' οἷοί τε ἦσαν· οὐ γὰρ ἔστιν ὅπως δημοκρατία ἄκρατος, ἐς τοσοῦτον ἀρχῆς ὄγκον προχωρήσασα, σωφρονῆσαι δύναται· πολλοὺς δ' ἂν ἐπὶ πολλοῖς καὶ αὖθις ἀγῶνας ὁμοίους ἀνελόμενοι[6], πάντως ἄν ποτε ἐδουλώθησαν, ἢ καὶ ἐφθάρησαν.

40. Ἤρεστι δὲ καὶ ἐκ τῶν σημείων τῶν τότε συμβάν-
R.p.519. των σφίσι τεκμήρασθαι, ὅτι μέγιστος διαφανῶς ὁ ἀγὼν αὐτοῖς ἐγένετο· τὸ γὰρ δαιμόνιον, ὥσπερ που καὶ ἀεὶ πρὸ τῶν ἀτοπωτάτων φιλεῖ προσημαίνειν, πάντα σφίσιν ἀκριβῶς καὶ ἐν τῇ Ῥώμῃ καὶ ἐν τῇ Μακεδονίᾳ τὰ ἐκβάντα ἀπ'

1. G et Bekk.; vulg. : ὑπακούσουσιν. Ce verbe gouvernant le datif, Sturz rétablit la leçon de Robert Étienne, qui se trouve dans E et dans F : ἐπακούσουσιν; D : ἐπακούσασιν; H : ἐπαγκούσασιν.

luttes précédentes, il s'agissait de décider à qui on obéirait, au lieu que, dans la circonstance actuelle, un parti conduisait le peuple romain à la domination d'un seul, tandis qu'un autre s'efforçait de lui rendre son indépendance. Aussi le peuple, bien que n'ayant été vaincu par aucune nation étrangère, ne leva-t-il plus désormais la tête à un langage vraiment libre (les sujets et les alliés qui prirent part à la lutte n'étaient, en quelque sorte, que l'accessoire des citoyens romains); supérieur et, en même temps, inférieur à lui-même, il fut lui-même l'auteur et la victime de sa chute, et à partir de ce moment l'esprit populaire se perdit, tandis que l'esprit monarchique se fortifia. Je ne prétends pas dire par là que cette défaite ne fut pas alors utile pour les Romains. Que dire, en effet, de ceux qui combattirent des deux côtés, sinon que des Romains furent vaincus et que ce fut César qui remporta la victoire? Les Romains, dans la position où se trouvait la république, n'étaient plus capables de concorde; car il n'est pas possible qu'un gouvernement purement populaire, parvenu à un empire aussi excessif, puisse se maintenir dans les bornes de la modération. Plus d'une lutte pareille, engagée pour plus d'une raison, aurait inévitablement amené la servitude ou la ruine.

40. Les prodiges, d'ailleurs, qui arrivèrent alors, témoignent assez que, pour les Romains, cette bataille fut de la plus haute importance : la divinité, suivant sa coutume de presque toujours annoncer à l'avance les événements extraordinaires, leur prédit exactement, à Rome et en Macédoine, les résultats de cette lutte. A

2. C, D : οὐδὲ ἀνέκυψεν. — 3. A, F : ὅτι.

4. B, F, G; vulg. : ἀλλοτρίου οὐδενός. — 5. B, C, E, F, G, K et Bekk.; vulg. : δέ; Reiske : τις. — 6. F : ἀνελόμενοι ὁμοίους.

αὐτοῦ προεμαντεύσατο. Ἐν γὰρ τῷ ἄστει[1] ὅ τε ἥλιος τοτὲ μὲν ἠλαττοῦτο, καὶ ἐλάχιστος ἐγίγνετο, τοτὲ δὲ καὶ μέγας καὶ τριττὸς ἐξεφαίνετο[2], καὶ ποτὲ καὶ νυκτὸς ἐξέλαμψε[3]· καὶ κεραυνοὶ ἄλλοσέ τε πολλαχόσε καὶ ἐς τὸν τοῦ Νικαίου Διὸς βωμὸν[4] ἐφέροντο· λαμπάδες τε ἐνταῦθα κἀκεῖσε ἤττον[5], καὶ σαλπίγγων ἠχαὶ, ὅπλων τε κτύποι, καὶ στρατοπέδων βοαὶ νυκτὸς ἔκ τε τῶν τοῦ Καίσαρος καὶ ἐκ τῶν τοῦ Ἀντωνίου κήπων, ὁμοχώρων ἀλλήλοις παρὰ τῷ Τιβέριδι ὄντων, ἠκούοντο[6]. Καὶ προσέτι καὶ κύων[7] κυνὸς σῶμα πρὸς τὸ Δημήτριον προσελκύσας, τήν τε γῆν τοῖς ποσὶν ὤρυξε, καὶ κατέχωσεν αὐτό. Καί τι παιδάριον δεκαδακτύλους χεῖρας ἔχον ἐγεννήθη, ἡμίονός τε διφυὲς τέρας ἔτεκε· τὰ μὲν γὰρ πρόσθια ἵππῳ, τὰ δὲ λοιπὰ ἡμιόνῳ ἐῴκει. Καὶ ὁ τῆς Ἀθηνᾶς ὀχὸς πρὸς τὸ Καπιτώλιον ἐξ ἱπποδρομίας τινὸς ἐπανιὼν συνετρίβη[8]· τό τε ἄγαλμα τὸ τοῦ Διὸς, τὸ ἐν τῷ Ἀλβανῷ ὂν, αἷμα παρ' αὐτὰς τὰς ἀνοχὰς ἔκ τε τοῦ δεξιοῦ ὤμου καὶ ἐκ τῆς δεξιᾶς χειρὸς ἀνέδωκε[9]. Καὶ ταῦτα μὲν ἐκ τοῦ δαιμονίου σφίσι προεδείχθη· ποταμοί τε ἐν τῇ χώρᾳ αὐτῶν, οἱ μὲν παντάπασιν ἐξέλιπον, οἱ δ' ἀνάπαλιν ῥεῖν ἤρξαντο· συνενη-

1. Bekk. : Ἐν μὲν τῷ ἄστει.

2. Cf. Jul. Obsequens, 130; Eusèbe, Chroniq. Olymp. 184. C'est le phénomène des parhélies.

3. Cf. Jul. Obsequens. Les commentateurs voient ici le phénoméne des aurores boréales. « Globum igneum, dit Sturz, intelligit Penzelius. »

4. H : Διὸς νεάν (peut-être ναόν?). C'est le temple de Jupiter Victorieux, sur le Palatin, différent de celui dont il a été question au livre XLV, ch. 17.

5. D, E, H, I, K : ἧπτον. — 6. B : ἠκούετο.

μακρὰν τρέψεσθαι· χαλεπὸν γὰρ ἄνδρας[1] τρεῖς ἢ καὶ δύο ὁμοτίμους, ἐγκρατεῖς[2] τηλικούτων ἐκ πολέμου[3] πραγμάτων γενομένους, ὁμονοῆσαι. Καὶ διὰ τοῦτο ὅσα τέως ἐπὶ τῇ τῶν ἀνθισταμένων σφίσι καταλύσει συμφρονήσαντες[4] κατέπραξαν, ταῦτα τότε ἆθλα τῆς πρὸς ἀλλήλους φιλοτιμίας ἤρξαντο ποιεῖσθαι. Τήν τε γὰρ ἀρχὴν αὐτίκα[5] ἀνεδάσαντο[6], καὶ Καίσαρι μὲν ἥ τε Ἰβηρία καὶ ἡ Νουμιδία, Ἀντωνίῳ δὲ ἥ τε Γαλατία καὶ ἡ Ἀφρικὴ ἐγένετο· καὶ συνέθεντο, ὥστ' ἄν τινα ἀγανάκτησιν ὁ Λέπιδος ἐπὶ τούτῳ ποιήσηται, τῆς Ἀφρικῆς αὐτῷ ἐκστῆναι.

2. Ταῦτα δὲ δὴ μόνα διέλαχον, ὅτι Σαρδὼ μὲν καὶ Σικελίαν ὁ Σέξτος ἔτι κατεῖχε[7], τὰ δ' ἄλλα τὰ ἔξω τῆς Ἰταλίας ἐν ταραχῇ ἔτι ἦν. Ἐκείνης γὰρ δὴ πέρι οὐδὲν δέομαι λέγειν, ὅτι ἐξαίρετος ἀεί ποτε ἐν τοῖς τοιούτοις ἔμενεν· οὐδὲ γὰρ οὐδ' ὡς περὶ αὐτῆς ποτὲ, ἀλλ' ὡς ὑπὲρ αὐτῆς ἀγωνιζόμενοι, τοὺς λόγους ἐποιοῦντο. Ἐν κοινῷ οὖν ταῦτα ἀφέντες, Ἀντώνιος μὲν τήν τε κατάστασιν τῶν ἀντιπολεμησάντων σφίσι, καὶ τὴν ἀργυρολογίαν τὴν ἐς τὰ χρήματα τὰ[8] τοῖς στρατιώταις ἐπαγγελθέντα[9] ἀνεδέξατο· Καῖσαρ δὲ τόν τε Λέπιδον, ἄν τι παρακινῇ[10], κωλῦσαι[11], καὶ τῷ

1. D : ἄνδρα. — 2. B : ἐγκρατής. — 3. F : πολέμων. — 4. D : σωφονήσαντες. 5. C om. — 6. Eutrope, VII, 2 : « Sic inter eos divisa est respublica, ut Augustus Hispanias, Gallias, Italiam teneret; Antonius Asiam, Pontum, Orientem. » Velléius Paterc., II, 74, et son témoignage est confirmé par celui de Plutarque (Ant. 23) et de Suétone (Aug. 13) : « Antonius transmarinas obiturus provincias substitit; Cæsar in Italiam se recepit. » Appien, V, 1 : Λέπιδος ἐξέπεσε τοῦ μέρους τῆς ἡγεμονίας, καὶ ἡ Ῥωμαίων ἀρχὴ πᾶσα περιῆλθεν ἐς δύο μόνον, Ἀντώνιόν τε καὶ Καίσαρα. Cf., ci-après, ch. 21 et 22.

de temps après, se retourner l'un contre l'autre. Il était difficile, en effet, que trois hommes, ou même deux, égaux en honneur, devenus par la guerre maîtres d'une si grande puissance, s'entendissent ensemble. C'est pour cette raison que tout ce qu'ils firent jusqu'à ce moment d'un commun accord, en vue de renverser le parti opposé, ils commencèrent à en faire dès lors, à l'égard les uns des autres, le prix de leur ambition. Ainsi ils se partagèrent immédiatement l'empire : César eut l'Espagne et la Numidie; Antoine, la Gaule et l'Afrique : ils convinrent, de plus, que si Lépidus se montrait irrité de ce partage, on lui céderait l'Afrique.

2. Ces contrées furent les seules qu'ils tirèrent au sort, parce que la Sardaigne et la Sicile étaient encore occupées par Sextus, et les pays en dehors de l'Italie remplis de troubles. Je n'ai pas besoin de dire que cette dernière contrée resta toujours en dehors dans ces sortes de partages; en effet, à en croire leurs discours, ce n'était pas pour sa possession, mais pour ses intérêts qu'ils combattaient. Laissant donc ces pays en commun, Antoine se chargea de pacifier ceux qui avaient pris part à la guerre et de ramasser l'argent nécessaire pour payer les sommes promises aux soldats; César, de réprimer Lépidus, s'il tentait quelque mouvement; de faire

7. Cf. XLVII, 12, et aussi Velléius Paterc., II, 72.

8. Reiske, Sturz et Bekk.; vulg. om. — 9. Cf. XLVII, 42.

10. E : παραχινεῖ; Robert Étienne écrit : ἀντιπαραχινεῖ; Xyl., suivi par les éd. subséq., a vu le premier que ce mot devait être divisé en trois, et qu'il fallait lire ἄν τι παραχινῇ. Les autres mss. confirment cette correction.

11. Leuncl., Xiph., Zon., Reim., Sturz et Bekk.; A, B, C, D, E, F, I, K : κολοῦσαι; H : κωλοῦσαι; G : καλοῦσαι.

Σέξτῳ προσπολεμῆσαι, τήν τε χώραν[1], ἣν τοῖς συστρατευομένοις σφίσιν ὑπέσχηντο, κατανεῖμαι[2] τοῖς ἔξω τῆς ἡλικίας αὐτῶν οὖσιν, οὓς καὶ εὐθὺς διῆκαν. Καὶ προσέτι οὗτος μὲν δύο τῷ Ἀντωνίῳ στρατόπεδα τῶν συνόντων οἱ συνέπεμψεν, ἐκεῖνος[3] δὲ ἕτερα ἐκ τῶν ἐν τῇ Ἰταλίᾳ τότε ὄντων ἴσα ἀντιδώσειν[4] αὐτῷ ἐπηγγείλατο. Ταῦθ' οὕτω καταμόνας[5] συνθέμενοι, καὶ γράψαντες, καὶ κατασημηνάμενοι, τά τε γραμματεῖα ἀλλήλοις ἀντέδοσαν, ἵν', ἄν τι παραβαθῇ[6], ἐξ αὐτῶν ἐλεγχθῇ· καὶ μετὰ τοῦτο Ἀντώνιος μὲν ἐς τὴν Ἀσίαν, Καῖσαρ δὲ ἐς τὴν Ἰταλίαν ἀφωρμήθη.

3. Καὶ αὐτὸν ἡ νόσος ἔν τε τῇ πορείᾳ καὶ ἐν τῷ πλῷ ἰσχυρῶς ἐπίεσεν[7], ὥστε καὶ θανάτου δόξαν τοῖς ἐν τῇ Ῥώμῃ παρασχεῖν. Οὐ μέντοι καὶ ὑπὸ τῆς ἀῤῥωστίας τοσοῦτον, ὅσον ἐπὶ παρασκευῇ κακοῦ τινὸς, χρονίζειν αὐτὸν R. p. 529. ἐνόμιζον· κἀκ τούτου πάνθ', ὅσα ἐνεδέχετο σφᾶς παθεῖν, ὑπετόπουν. Καίτοι ἄλλα τε ἐπὶ τῇ νίκῃ πολλὰ αὐτοῖς ἐψηφίσαντο, ἅπερ που καὶ τοῖς ἑτέροις ἂν, εἰ ἐκεκρατήκεσαν, ἐδέδοτο (ἐν γὰρ δὴ τοῖς τοιούτοις τό τε Ἀπολωλὸς πάντες ἀεὶ κατατρέχουσι, καὶ τὸ κρατῆσαν τιμῶσι[8])· καὶ δὴ καὶ ἱερομηνίας ἐν ἅπαντι, ὡς εἰπεῖν, τῷ ἔτει καὶ ἄκοντες ἄγειν ἔγνωσαν[9]· τοῦτο γὰρ σφίσιν ὁ Καῖσαρ ἐπὶ τῇ τῶν σφαγέων τιμωρίᾳ ἄντικρυς ποιῆσαι ἐκέλευσε. Χρονίζοντος δ' οὖν αὐτοῦ, λόγοι

1. Cf. l'Epitome de Tite Live, CXXV; Suétone, 13.

2. G : κατανεῖμεν. — 3. D : ἐκεῖνος. — 4. C, H : τότε ἔτι ὄντων, ἀντιδώσειν. — 5. A, F : οὕτως καταμόνας ; D : οὕτω κατὰ μόνα.

la guerre contre Sextus, et de distribuer aux vétérans qui avaient combattu pour eux les terres qu'ils s'étaient engagés à leur donner; puis, ils les licencièrent aussitôt. De plus, César laissa Antoine emmener deux de ses légions; celui-ci lui promit de lui en donner en remplacement deux autres qui étaient alors en Italie. Après être en leur particulier convenu de ces conditions, les avoir écrites et y avoir imprimé leur seing, ils échangèrent entre eux leurs reconnaissances pour s'assurer réciproquement des preuves en cas d'infraction : après cela, Antoine partit pour l'Asie, et César pour l'Italie.

3. Dans le trajet et pendant la traversée, il fut saisi par la maladie avec une telle violence que, dans Rome, on alla jusqu'à croire qu'il était mort. Cependant on pensait généralement que c'était moins sa santé qui causait ses retards que les apprêts de quelque méchant coup, et, par suite, on s'attendait à subir toutes les calamités imaginables. On ne laissa pas, néanmoins, outre les honneurs sans nombre décernés en commun aux triumvirs à l'occasion de leur victoire, honneurs qu'on aurait rendus à leurs adversaires s'ils avaient eu l'avantage (tout le monde, en pareilles circonstances, attaque le parti vaincu et prodigue les honneurs au vainqueur), de décréter, bien malgré soi, des supplications à remplir presque toute l'année; César, en effet, les avait ouvertement ordonnées en actions de grâces de la punition des

6. Sturz et Bekk.; vulg. : ὑπερβαινθῇ. — 7. Cf. Appien, V, 3; Plutarque, Ant., 22.
8. D : τιμῶσαι. — 9. C : ἔδοξαν.

τε παντοδαποὶ ἐθρυλοῦντο, καὶ παθήματα ἀπ' αὐτῶν παντοῖα συνέβαινε. Τά τε γὰρ ἄλλα, καὶ οἱ μὲν ὡς τέθνηκε διεθρόουν, καὶ ἡδονὴν πολλοῖς ἐνέβαλλον· οἱ δέ, ὡς κακόν τι βουλεύοιτο, καὶ φόβον συχνοῖς ἐνεποίουν. Καὶ διὰ τοῦτο οἱ μὲν τὰ σφέτερα συνέκρυπτον, καὶ ἑαυτοὺς ἐν φυλακῇ ἐποιοῦντο, οἱ δὲ ὅπη ποτὲ[1] ἀποδράσοιντο[2] διεσκόπουν[3]. Ἄλλοι, καὶ οἵ γε πλείους, οὐδ' ἐπινοῆσαί[4] τι ὑπὸ τοῦ σφοδροῦ δέους δυνάμενοι, παρεσκευάζοντο ὡς καὶ πάντως ἀπολούμενοι. Βραχύ τέ τι καὶ κομιδῇ σμικρὸν τὸ θαρσοῦν ἦν· ἐκ γὰρ δὴ τῆς πρόσθεν πολλῆς καὶ ποικίλης καὶ τῶν ἀνθρώπων[5] καὶ τῶν χρημάτων φθορᾶς οὐδὲν ὅ τι οὐχὶ καὶ τῶν ὁμοίων καὶ τῶν χειρόνων, ἅτε καὶ παντελῶς κεκρατημένοι, προσεδέχοντο. Ὅθεν περ καὶ ὁ Καῖσαρ, φοβηθεὶς μή τι[6], ἄλλως τε καὶ τοῦ Λεπίδου παρόντος, νεοχμώσωσιν, ἐπέστειλε τῇ γερουσίᾳ, θαρσεῖν τε αὐτῇ παραινῶν, καὶ προσυπισχνούμενος[7] πάντα καὶ πράως καὶ φιλανθρώπως κατὰ τὸν πατέρα[8] ποιήσειν. Τότε μὲν δὴ ταῦτ' ἐγένετο[9].

4. Τῷ δὲ ἐχομένῳ ἔτει, ὀνόματι μὲν ὅ τε Σερουΐλιος ὁ Πούπλιος καὶ ὁ Ἀντώνιος ὁ Λούκιος[10], ἔργῳ δὲ οὗτός τε[11]

1. F : δέ ποί ποτε ; H : δέεποι ποτέ ; E : δὲ καί ποί ποτε ; D : οἱ δέ εποι (*sic*).

2. H : ἀποδράσειν; F : ἀποδρασειντο (*sic*). Reiske ne se souvient pas d'avoir vu d'exemples d'ἀποδιδράσκομαι dans le sens d'*aufugio ;* il veut écrire ἀποδράσειεν, ou, pour conserver quelques vestiges de la vulgate, ἀποδράντες διαγένοιντο. Mais, dit Reimarus (*Addenda*), « verbi medii ἀποδιδράσκομαι exempla Herodoti dabit H. Stephanus. »

3. C, D, H : ἐσκόπουν.

4. Bekk. ; vulg. : οὐδὲ ἐπινοῆσαι.

meurtriers. Comme il tardait, des bruits de toute espèce coururent parmi le peuple et y produisirent des sentiments fort divers. Les uns, en effet, répandaient qu'il était mort, et ainsi causaient de la joie à bien des gens; d'autres, qu'il méditait quelque attentat, et inspiraient des craintes à un grand nombre. Aussi, une partie des citoyens cachait ses richesses et se tenait sur ses gardes, une partie cherchait où fuir. D'autres, et c'étaient les plus nombreux, ne pouvant respirer, tant leur crainte était forte, se croyaient perdus corps et biens. La quantité de ceux qui avaient confiance était fort restreinte et fort petite: tant de désastres divers avaient frappé les hommes et les fortunes que, les triumvirs l'emportant, il n'y avait aucun malheur semblable ou pire encore auquel on ne s'attendît. C'est pourquoi César, qui craignait que la présence de Lépidus n'excitât quelque nouveau trouble, écrivit au sénat pour l'exhorter à prendre confiance et lui promettre de se conduire en toutes choses avec clémence et humanité, suivant l'exemple de son père. Tels étaient les événements qui se passaient alors.

4. L'année suivante, furent consuls: de nom, P. Servilius et Lucius Antoine; en réalité, César et Fulvie. An de Rome 713. P. Servilius et L. Antonius consuls.

5. G, K et Bekk.; vulg.: τῶν χρημάτων καὶ τῶν ἀνθρώπων.

6 D: μήτε. — 7. C, D: προσυποσχνούμενος; B: προσυποσχούμενος.

8. Reiske, approuvé par Reim. (*Addenda*), Penzel et Bekk; vulg.: τὸν παρόντα, que Xyl. corrige: τὰ παρόντα, ou τὸν παρόντα καιρόν. Si cependant, dit Reiske, on tient absolument à conserver la vulgate, on peut lire: τὰ παρόντα, *quantum rerum præsentium ratio permitteret.*

9. C, H: ἐγίγνετο. — 10. C'était le plus jeune des frères de Marc Antoine, et le seul qui restât après le meurtre de Caïus (XLVII, 24) par C. Clodius. — 11. D om.

καὶ ἡ Φουλουΐα ὑπάτευσαν· τοῦ τε γὰρ Καίσαρος πενθερὰ, καὶ τοῦ Ἀντωνίου γυνὴ οὖσα[1], τόν τε Λέπιδον ὑπὸ νωθείας[2] παρ' οὐδὲν ἦγε, καὶ αὐτὴ τὰ πράγματα διεχείριζεν· ὥστε μήτε τὴν βουλὴν, μήτε τὸν δῆμον, ἄλλο τι παρὰ τὸ ἐκείνῃ δοκοῦν χρηματίζειν. Τοῦ γοῦν Λουκίου αὐτοῦ σπουδάζοντος ἐπινίκιά τινων ἐν ταῖς Ἄλπεσιν οἰκούντων[3], ὡς καὶ νικήσαντος σφᾶς, πέμψαι, τέως μὲν ἡ Φουλουΐα ἀντέλεγεν, οὐδείς οἱ συνεχώρησεν· ἐπεὶ δὲ ἐκείνη θεραπευθεῖσα ἐπέτρεψε, πάντες ἐψηφίσαντο· ὥστε τῷ μὲν λόγῳ τὸν Ἀντώνιον, καθ' ὧνπερ κεκρατηκέναι ἔλεγεν (οὔτε γὰρ ἔπραξέ τι
R. p. 530. νικητηρίων ἄξιον, οὔθ' ὅλως ἡγεμονίαν ἐν τοῖς χωρίοις ἐκείνοις ἔσχε), τῇ δ' ἀληθείᾳ τὴν Φουλουΐαν καὶ τιμηθῆναι[4] καὶ πομπεῦσαι. Πολὺ γοῦν πλεῖον ἐκείνου, ἅτε καὶ ἀληθέστερον, ἐσεμνύνετο· τὸ γὰρ δοῦναί τινι ἐξουσίαν τῆς τῶν νικητηρίων πέμψεως μεῖζον τοῦ διεορτάσαι αὐτὰ παρ' ἑτέρου λαβόντα ἦν[5]. Πλὴν γε[6] ὅτι τήν τε σκευὴν τὴν ἐπινίκιον ὁ Λούκιος ἐνεδύσατο, καὶ τοῦ ἅρματος ἐπέβη, τά τε ἄλλα[7] τὰ καθήκοντα ἐπὶ τοῖς τοιούτοις ἔπραξεν, αὐτὴ[8] ἡ Φουλουΐα τὴν πανήγυριν, ὑπηρέτῃ ἐκείνῳ χρωμένη, ποιεῖν ἔδοξεν. Ἦχθη δὲ ἐν τῇ πρώτῃ τοῦ ἔτους ἡμέρᾳ. Καὶ ἐπί

1. Peiresc. : Φουλβία ἡ πενθερὰ τοῦ Ὀκταβίου Καίσαρος, γυνὴ δὲ Ἀντωνίου, καὶ Λούκιος, καὶ οἱ συγγενεῖς αὐτῆς. Sur cette variante, cf. le ch. suivant ; sur le mariage de César avec la fille de Fulvie et de P. Clodius, son premier mari, XLVI, 56.

2. Sur le caractère de Lépidus, cf. ch. 13, et XLIX, 12.

3. Reimarus : « In fastis Capitolinis triumphasse traditur L. ANTONIVS. M. F. M. N. COS. EX ALPIBVS Kal. IANuariis. »

4. A, B, F, G, K om. : καὶ τιμηθῆναι, avec lacune de près de trois

Belle-mère de César et femme d'Antoine, Fulvie ne s'inquiétait en rien de Lépidus, à cause de son indolence, et dirigeait seule les affaires, de telle sorte que ni le sénat ni le peuple ne décidaient rien contre son gré. Ainsi Lucius ayant ardemment désiré triompher de certains peuples des Alpes comme s'il les eût vaincus, tant que Fulvie s'y opposa, personne n'y consentit; mais une fois que, cédant à ses assiduités, elle eut accordé la permission, tous décernèrent cet honneur au consul, en sorte que si, en apparence, ce fut Antoine (il n'avait rien fait qui méritât le triomphe, ni même exercé aucun commandement dans ces contrées), ce fut, en réalité, Fulvie qui reçut les honneurs et le triomphe pour les peuples qu'Antoine prétendait avoir vaincus. Aussi s'en montrait-elle, et à juste titre, bien plus fière que lui : car accorder à quelqu'un la permission de triompher, c'était plus que de célébrer les fêtes d'un triomphe qu'on tient d'un autre. Si ce n'est que Lucius se revêtit de la toge, monta sur le char de triomphe, et accomplit les cérémonies usitées en pareilles circonstances, Fulvie sembla se servir de son ministère pour présider à cette solennité. Ce triomphe eut lieu le premier jour de l'année. Lucius, en raison de cette coïncidence, se vanta

lignes dans A, de trois lignes et un quart dans B, de quatre lignes dans F, de deux dans C et dans K; de plus, dans G, on lit en marge λείπει. Tous les historiens s'accordent à représenter Fulvie comme une femme fière, impérieuse et hautaine. Cf. Plutarque; Florus, IV, 5; Velléius Paterc., II, 74; Orose, VI, 18, et Dion lui-même, XLVII, 8.

5. G om. — 6. C, D om. — 7. G om. — 8. Leuncl. et Bekk.; vulg. : αὕτη; dans G, les mots τὰ καθήκοντα. . . αὕτη sont en marge et d'une autre main.

τε τούτῳ ὁ Λούκιος ἐξ ἴσου τῷ Μαρίῳ ἐσεμνύνετο, ὅτι ἐν τῇ νουμηνίᾳ αὐτὴν, ἐν ᾗ ὑπατεύειν ἤρξατο, ἐπετέλεσε[1]· καὶ προσέτι καὶ ὑπὲρ ἐκεῖνον[2] ἠγάλλετο, λέγων, αὐτὸς μὲν ἐθελοντὴς τά τε τῆς πομπῆς κοσμήματα ἀποτεθεῖσθαι, καὶ τὴν βουλὴν ἐν τῇ ἀγοραίῳ στολῇ ἠθροικέναι· τὸν δὲ δὴ Μάριον, ἄκοντα αὐτὰ πεποιηκέναι. Προσετίθει τε, ὅτι ἐκείνῳ μὲν ἤ τις ἢ οὐδεὶς στέφανος ἐδόθη, αὐτὸς δὲ ἄλλους τε καὶ παρὰ τοῦ δήμου κατὰ φυλὴν, ὃ μηδενὶ τῶν προτέρων ἐγεγόνει, διά τε τὴν Φουλουΐαν, καὶ διὰ τὰ χρήματα, ἃ λάθρα τισὶν ἀνάλωσεν, ἔλαβεν.

5. Ἐν δ' οὖν τῷ ἔτει τούτῳ ἔς τε τὴν Ῥώμην ὁ Καῖσαρ ἀφίκετο, καὶ τὰ νομιζόμενα ἐπὶ τῇ νίκῃ ποιήσας[3], πρός τε τὴν διοίκησιν καὶ πρὸς τὴν διαγωγὴν τῶν πραγμάτων ἐτράπετο. Ὅ τε γὰρ Λέπιδος τὰ μὲν τῷ φόβῳ αὐτοῦ, τὰ δὲ καὶ τῇ τῆς γνώμης ἀσθενείᾳ, οὐδὲν ἐνεωτέρισε· καὶ ὁ Λούκιος ἥ τε Φουλουΐα, ὡς καὶ συγγενεῖς καὶ κοινωνοὶ τῆς ἡγεμονίας αὐτῷ ὄντες, ἡσύχασαν τήν γε πρώτην. Προϊόντος γὰρ δὴ[4] τοῦ χρόνου[5], διηνέχθησαν[6], οἱ μὲν, ὅτι τοῦ μέρους τῆς τῶν ἀγρῶν νομῆς, τοῦ τῷ Ἀντωνίῳ προσήκοντος, οὐ μετέσχον[7]· ὁ δὲ, ὅτι[8] τὰ στρατεύματα παρ' αὐτῶν οὐκ ἀντέλαβε[9]. Κἀκ τούτων ἥ τε συγγένεια

1. Marius avait triomphé de Jugurtha et des Numides aux calendes de janvier, le premier jour de son second consulat.

2. D : ἐκεῖ. — 3. Reimarus : « Eucharistica et lustratoria sacra, ut apud Dionysium Halicarnasseum, lib. VI. » — 4. F, G et Bekk.; vulg. : προϊόντος δέ. C, H : προϊόντος δὲ δή. — 5. Peir. om. : καὶ κοινωνοὶ. . . . τοῦ χρόνου. — 6. Peir. : διηνέχθησαν πρὸς τὸν Καίσαρα.

d'être l'égal de Marius, parce qu'il avait obtenu son triomphe au commencement même de l'année où il était consul pour la première fois; bien mieux, il se mettait au-dessus de lui, prétendant que, lui, il avait volontairement déposé les ornements du triomphe et qu'il avait, revêtu de la toge, assemblé le sénat, tandis que Marius ne l'avait fait qu'à regret. Il ajoutait qu'on avait à peine donné une ou deux couronnes à Marius, au lieu que lui, il en avait, entre autres, reçu du peuple une par tribu, chose qui n'était arrivée à personne auparavant, tout cela grâce à Fulvie et à l'argent qu'elle avait secrètement distribué.

5. Cette année-là, César vint à Rome, et, après avoir accompli les cérémonies légales relativement à sa victoire, il tourna ses vues vers la direction et l'administration des affaires. Lépidus, en effet, moitié par crainte de César, moitié par faiblesse de caractère, s'était abstenu de toute innovation. Quant à Lucius et à Fulvie, comme ils avaient avec lui des liens de parenté et partageaient avec lui l'autorité, ils restèrent tranquilles dans les premiers moments. Plus tard, en effet, ils se divisèrent : Lucius et Fulvie, parce qu'ils n'avaient pas eu dans la distribution des terres la part qui revenait à Antoine; César, parce qu'il n'avait pas reçu d'eux les légions pro-

7. Cf. Appien, V, 12; Velléius Paterc., II, 74 : « L. Antonius consul, vitiorum fratris sui consors, sed virtutum, quæ interdum in illo erant, expers, modo apud veteranos criminatus Cæsarem, modo eos qui justa divisione prædiorum, nominatisque coloniis agros amiserant, ad arma conciens magnum exercitum conflaverat. » — 8. Peir. : ὁ δ' ὅτι.
9. Cf., plus haut, ch. 2. Peir. : ἀνείλαβε.

αὐτῶν ἡ ἐκ τῆς[1] ἐπιγαμίας διελύθη[2], καὶ πρὸς πόλεμον ἐμφανῆ προήχθησαν[3]. Ὁ γὰρ Καῖσαρ τὴν χαλεπότητα τῆς πενθερᾶς μὴ φέρων (ἐκείνη γὰρ μᾶλλον ἢ τῷ Ἀντωνίῳ διαφέρεσθαι δοκεῖν ἐβούλετο), τὴν θυγατέρα αὐτῆς, ὡς καὶ παρθένον ἔτι οὖσαν, ᾧ καὶ ὅρκῳ ἐπιστώσατο, ἀπεπέμψατο[4], οὐκ ὀκνήσας οὔτε εἰ τοσοῦτον ἄλλως ἡ γυνὴ πεπαρθενεῦσθαι[5] παρ' αὐτῷ χρόνον[6] νομισθείη, οὔτε εἰ[7] πρὸς τὴν παρασκευὴν τῶν ἐσομένων, ἐκ πολλοῦ δόξειεν αὐτὸ[8] προβεβουλευκέναι. Γενομένου δὲ τούτου, οὐδὲν ἔτι φιλιον[9] ἐποίουν· ἀλλ' ὅ τε[10] Λούκιος μετὰ τῆς Φουλουΐας τῶν τε πραγμάτων, ὡς καὶ ὑπὲρ τοῦ Μάρκου τοῦτο[11] δρῶν, ἀντελαμβάνετο, καὶ οὐδενὸς αὐτῷ[12] ὑφίετο[13] (διὰ γὰρ τὴν πρὸς τὸν
R.p.331. ἀδελφὸν εὐσέβειαν, καὶ ἐπωνυμίαν ἑαυτῷ Πίεταν[14] ἐπέθετο)· καὶ ὁ Καῖσαρ τὸν μὲν Μάρκον οὐδὲν δῆθεν ἠτιᾶτο, μὴ καὶ ἐκπολεμώσειεν αὐτὸν τὰ ἐν τῇ Ἀσίᾳ[15] ἔθνη διέποντα[16]· ἐκείνοις δὲ δὴ καὶ ἐπεκάλει καὶ ἀντέπραττεν, ὡς καὶ παρὰ τὴν γνώμην αὐτοῦ πάντα ποιοῦσι, καὶ δυναστείας ἰδίας ἐπιθυμοῦσιν.

1. C : αὐτῶν . . . ἐκ τῆς (*sic*). — 2. Sur cette alliance, cf. la fin du livre XLVI. — 3. F : προηνέχθησαν. — 4. Suétone, Auguste, 62 : « Privignam ejus [Antonii] Claudiam, Fulviæ ex P. Clodio filiam, duxit uxorem, vixdum nubilem; ac simultate cum Fulvia socru exorta, dimisit intactam et adhuc virginem. » — 5. G : πεπαρθενεῦσαι. — 6. F : χρόνῳ.

7. Sturz : « Et ponendum videtur ante verba πρὸς τὴν παρασκευήν. » Dans toutes les éditions, même dans celle de Bekk., cette conjonction est placée devant ἐκ πολλοῦ. — 8. B, F : αὐτῷ. — 9. Les éd. de Xiph. : φίλον; Coisl. et Br. : φίλιον. Peut-être φιλικόν.

10. Reiske préférerait γε. — 11. B : ταῦτα. — 12. Bekk.; vulg. : αὐτῶν. « Si οὐδενὸς αὐτῶν (scil. πραγμάτων), dit Reiske, retineatur, necessario legendum est ἀφίετο vel ἠφίετο, *sese abstinebat ab eorum nullo.*

mises. Par suite de ces différends, les liens résultant du mariage furent dissous, et on en vint à une guerre ouverte. César, ne supportant pas l'humeur altière de sa belle-mère (c'était avec elle plus qu'avec Antoine qu'il voulait paraître en désaccord), lui renvoya sa fille comme si elle était encore vierge, chose qu'il affirma par serment, sans s'inquiéter en rien si l'on croirait à la virginité d'une femme demeurée si longtemps chez lui, ou s'il ne passerait pas pour avoir arrêté depuis longtemps cette résolution afin de se ménager l'avenir. Après la répudiation, il n'y eut plus d'amitié entre eux ; Lucius, secondé par Fulvie, s'empara des affaires sous le prétexte de prendre les intérêts de Marc Antoine, et ne fit aucune concession (dans son amour pour son frère il s'était attribué à lui-même le surnom de Piétas); César n'en faisait nullement retomber la faute sur Marcus, de peur de mettre les armes aux mains d'un homme qui administrait les provinces d'Asie : il n'accusait que Lucius et Fulvie, et s'opposait à leurs résolutions comme s'ils agissaient en tout contrairement aux intentions de Marcus et désiraient dominer pour leur compte.

Si vero ὑφίετο retineatur, legendum est οὐδὲν αὐτῷ, *nulla in re ipsi concedebat.* » — 13. A, C, D, F, I : ὑφειετο. — 14. Mot latin transcrit en lettres grecques par Dion. Leuncl. : « Repone Πιέτας. » Reimarus (*Addenda*) : « Probabile est L. Antonium eodem modo *Pietatis* cognomen sibi sumpsisse, quo Vitellius posthac *Concordiæ* cognomen recepit. » Sturz ajoute : « Sic, nostris temporibus, Dux Aurelianensis cognomen sibi sumpsit *l'Égalité.* » — 15. D, F : τὰν τῇ Ἀσίᾳ.

16. Leuncl. et Bekk.; vulg. : διέχοντα. Reiske : « Διέχοντα potest quodam modo servari : *distinentem*, hoc est diductis velut brachiis populos in mutua bella ruentes internecione sua a conflictu retinentem. Mallem tamen δὴ ἔχοντα, vel ἤδη ἔχοντα. » Sturz semble approuver Reiske ; l'*Index*, en citant ce passage d'après la vulgate, met διέχοντα entre parenthèses.

6. Ἦν δὲ[1] ἐν τῇ κληρουχίᾳ ἀμφοτέροις ἡ πλείστη τῆς δυνάμεως ἐλπὶς, καὶ διὰ τοῦθ' ὑπὲρ αὐτῆς πρῶτον ἀρξάμενοι διεφέροντο. Ὅ τε γὰρ Καῖσαρ αὐτὸς πᾶσι τοῖς τε ἑαυτῷ καὶ τοῖς τῷ Ἀντωνίῳ συστρατευσαμένοις ἤθελεν αὐτὴν, κατὰ τὰς συνθήκας[2] τὰς μετὰ τὴν νίκην αὐτοῖς γενομένας, ὅπως[3] ἐς εὔνοιαν σφᾶς ὑπαγάγηται, ποιήσασθαι· καὶ ἐκεῖνοι τήν τε ἐπιβαλλουσαν τοῖς σφετέροις κληρουχῆσαι[4], καὶ τὰς πόλεις αὐτοὶ ἀποικίσαι[5] ἠξίουν, ἵνα τὴν ἰσχὺν αὐτῶν σφετερίσωνται. Καὶ γὰρ ἑτοιμότατον ἀμφοτέροις ἐδόκει εἶναι τὰ τῶν ἀόπλων τοῖς συμπολεμήσασι χαρίσασθαι. Ὡς γοῦν παρὰ τὴν δόξαν αὐτῶν πολλὴ ταραχὴ ἐγίγνετο, καὶ τὸ πρᾶγμα ἐς πόλεμον προήγετο (πᾶσαν γὰρ κατ' ἀρχὰς[6] τὴν Ἰταλίαν, πλὴν εἴ τί[7] τις τῶν ἐστρατευμένων ἐν δωρεᾶς μέρει λαβὼν, ἢ καὶ ἐκ τοῦ δημοσίου πριάμενος εἶχε, μετά τε[8] τῆς δουλείας, καὶ μετὰ τῆς ἄλλης κατασκευῆς τοὺς δεσπότας[9] ὁ Καῖσαρ ἀφῃρεῖτο, καὶ ἐκείνοις ἐδίδου[10]· καὶ διὰ τοῦτο[11] τῶν κτημάτων[12] ἀποστερούμενοι δεινῶς πρὸς αὐτὸν[13] ἠγανάκτουν), μετεβάλοντο[14] ἥ τε Φουλουΐα καὶ ὁ Υ̓́πατος[15], πλείω δύναμιν ἐν τοῖς ἑτέροις[16] τοῖς ἀδικουμένοις σχήσειν ἐλπίσαντες· καὶ[17] τῶν μὲν λῃψομένων τοὺς ἀγροὺς ἠμέλησαν, πρὸς δὲ ἐκείνους, ἅτε καὶ πλείονας ὄντας, καὶ ὀργὴν δικαίαν ὑπὲρ ὧν

1. G om. : Ἦν δέ. — 2. Cf. ch. 2. — 3. F : καὶ ὅπως. — 4. G : καὶ κληρουχῆσαι. — 5. C, E, F, H : ἀποικῆσαι ; Henri Etienne et Leuncl. avaient déjà corrigé cette leçon fautive. — 6. Allusion à ce qui sera raconté au ch. 8. Peir. : ὅτι πᾶσαν κατ' ἀρχάς. — 7. Bekk. ; Leuncl. : εἴ τίς τι ; vulg. om ; Reiske : « Aut εἴ τι τις, aut εἴ τις... λαβών τι, ἢ καί. »

6. Les uns et les autres mettaient dans la distribution des terres leur plus grand espoir de puissance, et c'est pour cela qu'ils en firent leur premier motif de dissension. César voulait, conformément aux conventions arrêtées à la suite de la victoire, faire lui-même le partage à ses propres soldats et à ceux d'Antoine, afin de s'attirer leur faveur; Lucius et Fulvie prétendaient assigner aux leurs la part qui leur revenait et envoyer eux-mêmes les colonies dans les villes, afin de se les attacher du même coup. Les uns et les autres, en effet, regardaient comme le moyen le plus expéditif de donner à ceux qui avaient combattu pour eux les biens de ceux qui n'avaient pas d'armes. Mais comme, contrairement à leur opinion, il s'éleva un grand tumulte et que la guerre menaçait (car, d'abord, dans toute l'Italie, à la réserve des portions possédées par quelques vétérans, qui les avaient soit reçues comme récompense, soit achetées de l'État, César enlevait aux maîtres leurs terres avec leurs esclaves et tout le reste de leur mobilier pour en faire don aux soldats; ce qui donnait lieu, de la part des citoyens dépouillés, à une violente irritation contre lui), Fulvie et le consul changèrent de conduite, espérant trouver une ressource plus grande dans les victimes de cette mesure : ils négligèrent ceux qui devaient recevoir des terres pour tourner leurs vues du côté des citoyens, plus nombreux, qui, pour avoir été dépouillés, faisaient éclater une juste colère. C'est pourquoi, les

8. Coisl. : δὲ. — 9. Peir. : τούς τε δεσπότας. — 10. Peir. : τοῖς στρατεύσασιν ἐδίδου. — 11. Au lieu de διὰ τοῦτο, Peir. : οἱ δέ. — 12. Reiske : οἱ τῶν κτημάτων. — 13. Peir. om. : πρὸς αὐτόν. — 14. Bekk.; vulg. : μετεβάλλοντο; Peir. om. — 15. Peir. : ὅτι ἡ Φουλβία (constamment) καὶ ὁ Λούκιος ὁ ὕπατος. — 16. Peir. om. : τοῖς ἑτέροις. — 17. Peir. om.

ἀπεστεροῦντο ποιουμένους, ἐτράποντο. Κἀκ τούτου ὑπολαμβάνοντες αὐτοὺς ὡς ἑκάστους, καὶ συνῄροντο καὶ συνίστων· ὥστε καὶ τοὺς ἐν τῷ πρὶν τὸν Καίσαρα φοβουμένους, τότε προστατῶν ἐπιλαβομένους, ἀναθαρσῆσαι, καὶ μηδενὸς ἔτι τῶν οἰκείων ἀφίεσθαι[1]· καὶ γὰρ καὶ τῷ Μάρκῳ ταῦτα συνδοκεῖν ἐνόμιζον[2].

7. Τούτους τε οὖν ὅ τε[3] Λούκιος καὶ ἡ Φουλουΐα προσεποιοῦντο, καὶ τοῖς ἑτέροις τοῖς ἀμφὶ τὸν Καίσαρα οὐδὲν προσέκρουον. Οὐ γὰρ ὡς οὐ[4] δέον αὐτοὺς κληρουχῆσαί τινα προεβάλλοντο, ἀλλ' ἀρκοῦντα[5] αὐτοῖς τὰ τῶν ἀντιπολεμησάντων σφίσιν ἀπέφαινον· καὶ μᾶλισθ' ὅτι[6] καὶ χωρία καὶ ἔπιπλα, τὰ μὲν ἔτι τότε ὄντα, τὰ δὲ[7] καὶ πεπραμένα[8] ἀπεδείκνυσαν· ὧν τὰ μὲν αὐτὰ, τῶν δὲ τὴν τιμὴν ἔφασκον αὐτοῖς δοθῆναι χρῆναι. Εἰ δ' οὖν μηδὲ ταῦτα σφίσιν ἀρκέσειε, ταῖς γε[9] ἐκ τῆς Ἀσίας ἐλπίσι πάν-
R.p.532. τας αὐτοὺς ἀνηρτῶντο· ὥστε ταχὺ ἐκ τούτων συνέβη, Καίσαρα μὲν, ἅτε καὶ βίᾳ τῶν κεκτημένων[10] τι ἀφαιρούμενον, καὶ πόνους ὑπὲρ αὐτῶν καὶ κινδύνους πᾶσιν ὁμοίως προσάγοντα, ἀμφοτέροις αὐτοῖς προσκροῦσαι[11]· ἐκείνους δὲ δὴ, οἷα μήτε τι ἀποστεροῦντάς τινα[12], καὶ ἐκ τῶν ὑπαρχόντων σφίσι τὴν πλήρωσιν τῶν ἐπαγγελιῶν ἀμαχὶ τοῖς

1. Bekk.; vulg. : ἀφεῖσθαι. — 2. Peir. : om. : καὶ γὰρ ... ἐνόμιζον.
3. Peir. om.
4. Reiske, Sturz et Bekk.; vulg. om.
5. Peir. et Bekk.; vulg. : ἀλλὰ ἀρκοῦντα.
6. C : μάλιστ' ὅτι.
7. Reimarus : « Interpres Xylander vertit quasi legendum sit τὰ δὲ καὶ

prenant sous leur protection, ils prêtèrent leur aide à chacun d'eux et en formèrent une ligue, de telle sorte que ceux qui, auparavant, redoutaient César, maintenant qu'ils se sentaient soutenus, reprirent courage, et ne cédèrent plus rien de ce qui leur appartenait, croyant cette conduite approuvée aussi de Marcus.

7. Ainsi Lucius et Fulvie attiraient à eux les citoyens sans offenser en rien les partisans de César. Ils ne contestaïent pas, en effet, l'obligation de distribuer des terres, mais ils prétendaient que celles de leurs adversaires étaient suffisantes, surtout vu qu'ils indiquaient des biens et des meubles, les uns maintenant encore disponibles, les autres vendus, dont il fallait, disaient-ils, donner aux soldats les uns en nature, les autres en argent. Si ces ressources ne suffisaient pas, ils tenaient tous les esprits en suspens par l'espoir de ce qui devait venir d'Asie. Ces manœuvres eurent pour résultat de faire promptement encourir à César, qui dépouillait violemment les possesseurs de leurs biens et exposait tout le monde également à des fatigues et à des dangers, le mécontentement des deux partis ; tandis que Lucius et Fulvie, qui ne dépouillaient personne, et qui se faisaient fort de remplir avec les ressources existantes leurs promesses

πεπραμένα, quod valde probo. » Avec Sturz et Bekker, j'adopte cette leçon, qui est d'ailleurs conforme au style habituel de Dion ; vulg. οπ.: δέ.

8. F : πεπραγμένα. — 9. A, C, E, F, G, I : τε. — 10. B, D, H : βίᾳ τὰ τῶν κεκτημένων. — 11. Suétone, 13 : « ... Neque veteranorum neque possessorum gratiam tenuit, alteris pelli se, alteris non pro spe meritorum tractari, querentibus. » H ; προσκρούσασθαι. — 12. F et Bekk. ; vulg. : τινας.

ληψομένοις αὐτὰ[1] ὑποδεικνύντας, ἑκατέρους προσθέσθαι. Ἔκ τε οὖν τούτων, καὶ ἐκ τοῦ λιμοῦ, ὃς τότε, τῆς θαλάσσης, τῆς μὲν κατὰ Σικελίαν ὑπὸ τοῦ Σέξτου, τῆς δ' ἐν[2] τῷ Ἰονίῳ κόλπῳ ὑπὸ Γναίου Δομιτίου Ἀηνοβάρβου[3] κατεχομένης, δεινῶς[4] αὐτοὺς ἐπίεσεν, ἐν πολλῇ ἀμηχανίᾳ ὁ Καῖσαρ ἐγένετο. Ὁ γὰρ Δομίτιος ἦν μὲν τῶν σφαγέων, ἐκ δὲ δὴ τῆς μάχης τῆς πρὸς Φιλίπποις γενομένης διαφυγὼν, ναυτικόν τι συνεκρότησε, καὶ τοῦ τε κόλπου χρόνον τινὰ ἐκράτησε, καὶ τὰ τῶν ἐναντίων ἐπὶ πλεῖστον ἔφθειρε.

8. Ταῦτά τε οὖν τὸν Καίσαρα δεινῶς ἐλύπει, καὶ ὅτι ἐν ταῖς διαφοραῖς ταῖς πρὸς τοὺς βουλευτὰς[5] καὶ πρὸς τὸ λοιπὸν πλῆθος τὸ τοὺς ἀγροὺς κεκτημένον τοῖς ἐστρατευμένοις[6] συμβαινούσαις (πλεῖσται[7] δὲ δὴ, ἅτε καὶ ὑπὲρ τῶν μεγίστων ἀγωνιζομένοις, σφίσιν ἐγίγνοντο), οὐδετέροις ἀκινδύνως προσετίθετο. Ἀμφοτέροις μὲν γὰρ ἀδύνατον ἦν αὐτῷ χαρίζεσθαι· οἱ μὲν γὰρ ὑβρίζειν, οἱ δ' ἀπαθεῖς[8] εἶναι, καὶ οἱ μὲν τὰ ἀλλότρια[9] λαβεῖν, οἱ δὲ τὰ ἑαυτῶν ἔχειν ἤθελον. Ὁσάκις δὲ δὴ τὰ τούτων ἢ τὰ ἐκείνων, ὡς που καὶ ἠναγκάζετο, προέλοιτο, τοῖς ἑτέροις[10] ἀπήχθετο, καὶ οὐ

1. Bekk. ; vulg. : αὐτάς. — 2. D : τῆς δὲ ἐν. — 3. C : Ἠνοβάρβου; A, B, F : Ἀηνόρβου. Ce Domitius, fils de L. Domitius, qui périt en fuyant de Pharsale, suivit d'abord le parti d'Antoine (c. 16), et fut consul avec C. Sosius, l'an de Rome 722 (L, 2); il se rangea enfin du parti de César, et mourut de maladie l'année suivante (L, 13). César lui accorda deux fois l'impunité : la première fois, après la victoire de Pérouse (ch. 29); la seconde, durant son consulat (L, 2). Suétone, 17 : « Remisit tamen hosti judicato [Antonio] necessitudines amicosque omnes, atque inter alios C. Sosium et Cn. Domitium, tunc adhuc consules. » Reimarus fait remarquer que, sur trois exemplaires qu'il possède de l'édition de Leuncla-

envers ceux qui devaient avoir part à la distribution, se concilièrent les uns et les autres. Cette conduite, surtout quand, la mer étant fermée du côté de la Sicile par Sextus, et dans le golfe Ionique par Cnéius Domitius Ahénobarbus, on était vivement pressé par la famine, mettait César dans un grand embarras. Domitius, en effet, était un des meurtriers; après s'être échappé de la bataille de Philippes, il rassembla une flotte assez considérable, domina quelque temps sur le golfe et fit beaucoup de mal à ses ennemis.

8. César était vivement affligé de ces menées, et aussi de ce que, dans les disputes qui survenaient entre les soldats, les sénateurs et la foule des possesseurs de terres (il s'en élevait fréquemment, en effet, attendu qu'il y allait des intérêts les plus grands), il y avait danger pour lui à prendre parti pour les uns ou pour les autres. Il lui était impossible de faire plaisir à tous à la fois : les uns voulaient commettre des violences, les autres ne rien souffrir; les uns s'emparer des biens d'autrui, les autres conserver ce qui leur appartenait. Toutes les fois donc que, suivant la nécessité des circonstances, il préférait soit ceux-ci, soit ceux-là, il encourait la haine des au-

vius, une porte, ici, Γαΐου pour prénom de Domitius, tandis que, partout ailleurs, cette édition, d'accord avec les deux autres, l'appelle Cnéius.

4. Les variantes du ms. C, recueillies par M. Gros, indiquent omission du mot δεινὼς. J'ignore si cette omission porte après Ἀγηνοβάρβου κατεχομένης, ou plus bas, ch. 8, après Καίσαρα.

5. Bekker, en note, propose de lire πρός τε τοὺς βουλευτάς.

6. D : ἐστρατευμένοι.

7. Reiske, approuvé par Reim. (*Addenda*), Sturz et Bekk.; vulg. : πλεῖστα. — 8. C, D : οἱ δὲ ἀπαθεῖς.

9. B : οἱ μὲν καὶ τὰ ἀλλότρια. — 10. D : τοῖς τε ἑτέροις.

τοσαύτης γε[1] χάριτος ἐξ ὧν ὑπούργει τισὶν, ὅσης ὀργῆς ἐξ ὧν μὴ συνεχώρει, ἐτύγχανεν. Οἱ μὲν γὰρ ὡς καὶ ὀφειλόμενα[2] σφίσι πάντα τὰ διδόμενα[3] λαμβάνοντες, ἐν οὐδεμιᾷ αὐτὰ εὐεργεσίᾳ[4] ἐτίθεντο· οἱ δὲ, ὡς καὶ τῶν οἰκείων στερισκόμενοι, ἐχαλέπαινον. Καὶ ἐκ τούτου διετέλει ἢ τούτοις ἢ ἐκείνοις προσκρούων· καὶ τοτὲ μὲν ὡς φιλόδημος, τοτὲ δὲ ὡς καὶ[5] φιλοστρατιώτης ἐγκαλούμενος. Καὶ διὰ ταῦτα ἐπειδὴ μήτε τι ἤνυε, καὶ προσέτι καὶ ἐξ αὐτῶν τῶν ἔργων ἔμαθεν, ὅτι οὐδὲν τὰ ὅπλα πρὸς τὸ τοὺς ἀδικουμένους εὐνοϊκῶς οἱ ἔχειν ἐδύνατο, ἀλλ' ἀπολέσθαι[6] μὲν πᾶν τὸ μὴ ὑπεῖκον δι' αὐτῶν οἷόν τε ἦν· ἀναγκασθῆναι δέ τινα φιλεῖν[7] ὃν μὴ βούλεται, ἀδύνατον ὑπάρχοι[8]· οὕτω δὴ καὶ ἄκων ὑποκατέκλινε[9], καὶ οὐκέτ' οὔτε[10] τῶν βουλευτῶν τι ἀφείλετο[11] (πρότερον γὰρ καὶ τὰ ἐκείνων πάντα κατανεῖμαι ἠξίου, διερωτῶν σφᾶς, « Πόθεν οὖν τὰ γέρα τοῖς ἐστρατευμένοις ἀποδώσομεν[12]; » ὥσπερ τινὸς αὐτῷ πολεμεῖν, ἢ καὶ τοσαῦτα σφίσιν[13] ὑπισχνεῖσθαι κεκελευκότος), τῶν τε ἄλλων ὅσα ἡ γυναῖκες ἐς τὰς προῖκας ἐντετιμημένα[14], ἢ καὶ ἕτεροί τινες ἐλάττω τῆς κατ' ἄνδρα τοῖς ἐστρατευμένοις γῆς ἐκέκτηντο, ἀπέσχετο[15].

9. Πραχθέντος δὲ τούτου, ἡ μὲν γερουσία, καὶ οἱ ἄλλοι

1. E, F, G, C : τε. — 2. H : ὀφειλούμενα. — 3. Bekk.; vulg : γιγνόμενα. Reimarus : « Petr. Faber Semestr. II, 4, mavult τὰ διδόμενα, quod probabile satis, nec tamen omnino necessarium. »

4. D : εὐεργεσίᾳ αὐτά. — 5. A, D om.

6. C, D, F, G : ἀλλὰ ἀπολέσθαι. — 7. Reiske, approuvé par Sturz, et Bekk.; vulg. : οἷόν τε ἦν ἀναγκασθῆναι· τινὰ δὲ φιλεῖν. — 8. Sturz voudrait lire ὑπάρχει.

tres, et recueillait moins de reconnaissance pour les services qu'il rendait que de ressentiment pour ce qu'il n'accordait pas. Les uns, en effet, recevant tout ce qu'on leur donnait comme chose qui leur était due, ne tenaient nul compte du bienfait; les autres n'étaient pas moins irrités que si on les eût dépouillés de leur bien. Aussi offensait-il continuellement l'un ou l'autre parti, accusé tantôt de favoriser le peuple, tantôt de favoriser les soldats. Comme ces alternatives n'avançaient rien, et l'expérience d'ailleurs lui faisant reconnaître que les armes ne pouvaient lui concilier la faveur de ceux qu'il offensait; qu'elles lui fournissaient bien un moyen d'anéantir tout ce qui résisterait, mais qu'il n'était pas en leur pouvoir de le faire aimer de qui ne voulait pas; il se décida, malgré lui, à renoncer à ses projets, et n'enleva plus rien aux sénateurs (son intention était d'abord de tout distribuer aux soldats, même les possessions des sénateurs, à qui il demandait : « Comment enfin récompenserons-nous ceux qui nous ont servis? » comme si on lui avait ordonné de faire la guerre ou de tant promettre); quant au reste, tout ce qui servait d'hypothèque à des dots de femmes, toute possession moindre que la quantité de terre donnée à chacun des vétérans, il s'abstint d'y toucher.

9. Cette conduite inspira au sénat et à ceux qui éhap-

9. Leuncl. : ὑποκατέκκλινε. La vulgate a pour elle l'autorité des mss. et celle de Xiphilin. — 10. Bekk.; vulg. : οὐδέ.

11. Avec Bekker, j'ouvre, après ἀφείλετο, une parenthèse que je ferme après κεκελευκότος; dans la vulgate, il y a un point après chacun de ces deux mots. — 12. G : ἀποδώσομαι. — 13. Bekk., vulg. : τοσαῦτά τισιν.

14. B, D, F, K et Bekk.; vulg. et A, C, E, G, H, I : ἐντετιμημέναι.

15. B, F : ἀπέσχοντο.

οἱ μηδενὸς στερούμενοι[1], πράως πως πρὸς αὐτὸν ἔσχον· οἱ δὲ ἐστρατευμένοι τήν τε φειδὼ καὶ τὴν τιμὴν τὴν ἐς ἐκείνους ἀτιμίαν τε ἅμα καὶ ζημίαν ἑαυτῶν, ὡς καὶ ἐλάττω ληψομένων, νομίζοντες εἶναι, ἐδυσχέραινον, καὶ τῶν τε ἑκατοντάρχων καὶ τῶν ἄλλων τῶν ἐπιτηδείως τε[2] τῷ Καίσαρι ἐχόντων, καὶ θορυβεῖν αὐτοὺς κωλυόντων, συχνοὺς ἀπέκτειναν· αὐτόν τε ἐκεῖνον παρ' ὀλίγον[3] ἦλθον ἀποχρήσασθαι[4], πᾶσαν αὐτάρκη πρόφασιν τῆς ὀργῆς ποιούμενοι. Καὶ οὐ πρότερόν γε ἐπαύσαντο χαλεπαίνοντες, πρὶν τοῖς τε συγγενέσι σφῶν, καὶ τοῖς τῶν ἐν ταῖς μάχαις πεσόντων πατράσι καὶ παισὶ τὴν χώραν, ὅσην τινὲς αὐτῶν εἶχον, ἀφεθῆναι. Ἐκ δὲ τούτου τὰ μὲν τῶν στρατιωτῶν ἐπιτηδειότερά οἱ αὖθις ἐγένετο· ὁ δὲ δῆμος κατ' αὐτὸ δὴ τοῦτο[5] πάλιν ἠγανάκτει[6]. Καὶ ἔς τε χεῖρας αὐτοῖς[7] ἦεσαν, καὶ μάχαι σφῶν συνεχεῖς ἐγίγνοντο[8], ὥστε καὶ τιτρώσκεσθαι καὶ ἀποθνήσκειν παρ' ἀμφοτέρων ὁμοίως[9] πολλούς. Οἱ μὲν γὰρ δὴ τῇ τε τῶν ὅπλων παρασκευῇ καὶ τῇ τῶν πολέμων ἐμπειρίᾳ, οἱ δὲ τῷ τε πλήθει καὶ τῷ ἀπὸ τῶν τειχῶν αὐτοὺς βάλλειν, ἐπεκράτουν· ὥστε καὶ οἰκίας διὰ τοῦτο συχνὰς καταπρησθῆναι, καὶ τὸ ἐνοίκιον, τοῖς μὲν ἐν τῷ ἄστει μέχρι πεντακοσίων δραχμῶν οἰκοῦσι πᾶν τοῖς δ' ἐν τῇ[10] λοιπῇ Ἰταλίᾳ κατὰ τὸ τέταρτον ἐνιαυτοῦ ἑνὸς ἀνε-

1 F : στερούμενοι ; K : στερομένους.

2. Reiske et Bekker, afin de correspondre à καὶ κωλυόντων.

3. Après ὀλίγον, C porte ἀπέκτειναν, avec des points au-dessous de chaque lettre.

4. Le Grammairien publié dans les *Anecdota* de Bekker, tome I, p. 125, cite ce passage comme exemple du verbe ἀποχρήσασθαι construit

paient aux spoliations des sentiments assez bienveillants à son égard ; mais, d'un autre côté, les soldats, ne voyant dans ces ménagements et cet honneur accordés aux citoyens qu'un déshonneur et un dommage pour eux-mêmes, comme si on allait leur donner moins, s'exaspérèrent et mirent à mort plusieurs centurions et soldats qui, favorables à César, cherchaient à réprimer leur sédition ; peu s'en fallut qu'ils ne tuassent César lui-même, se faisant de tout un prétexte suffisant pour se mutiner. Leur irritation ne s'arrêta que lorsqu'on eut concédé à leurs proches, ainsi qu'aux pères et aux enfants de ceux qui étaient tombés sur les champs de bataille, toutes les terres qu'ils se trouvaient posséder. Par suite de cette mesure, les dispositions des soldats lui redevinrent favorables ; mais, pour la même raison, le peuple laissa de nouveau éclater son mécontentement. On en vint aux mains, et des conflits fréquents furent engagés, de sorte que, de part et d'autre pareillement, il y eut beaucoup de blessés et de tués. Les uns, en effet, avaient la supériorité, grâce aux armes et à l'expérience de la guerre ; les autres, grâce à leur nombre et aux traits qu'ils lançaient du haut de leurs toits ; ce qui fit qu'un grand nombre de maisons furent brûlées, et que remise d'une année entière de location fut accordée, jusqu'à concurrence de cinq cents drachmes dans Rome et jusqu'à concurrence du quart de cette somme dans le reste de

avec l'accusatif. On en trouve aussi un exemple au ch. 1 de ce livre : οἱ; τὸν Καίσαρα ἀπεχρήσαντο. — 5. D : κατ' αὐτὸ δὲ δὴ τοῦτο. — 6. Appien et l'Epitome de Tite-Live, CXXV, racontent les séditions qui s'élevèrent parmi les soldats de César, que Fulvie avait corrompus. — 7. Xiph. : αὐτοί. — 8. C : ἐγένοντο.

9. C, D, E, H om. — 10. D : τοῖς δὲ ἐν τῇ.

θῆναι[1]. Ἐν πάσαις γὰρ δὴ ταῖς πόλεσιν ὁμοίως, ὅπη ποτὲ συντύχοιεν ἀλλήλοις, ἐμάχοντο.

10. Ὡς οὖν ταῦτά τε οὕτως ἐγίγνετο, καὶ στρατιῶται, ἐς Ἰβηρίαν ὑπὸ τοῦ Καίσαρος προπεμφθέντες[2], θόρυβόν τέ τινα ἐν Πλακεντίᾳ ἐποίησαν, καὶ οὐ πρότερον πρὶν χρήματα παρὰ τῶν ἐπιχωρίων λαβεῖν, κατέστησαν· καὶ προσέτι καὶ ὑπὸ τοῦ Καλήνου[3] τοῦ τε Οὐεντιδίου τὴν Γαλατίαν τὴν ὑπὲρ τὰς Ἄλπεις ἐχόντων ἐκωλύθησαν ὑπερβαλεῖν[4] αὐτάς· ἐφοβήθη τε ὁ Καῖσαρ μὴ καὶ σφαλῇ τι, καὶ καταλλαγῆναι τῇ τε Φουλουΐᾳ καὶ τῷ ὑπάτῳ ἠθέλησεν. Ἐπειδή τε οὐδὲν ἰδίᾳ καὶ καθ' ἑαυτὸν προσπέμπων σφίσιν ἐπέραινεν, ἐπὶ τοὺς ἐστρατευμένους ὥρμησε, καὶ δι' αὐτῶν τὰς συναλλαγὰς ἔπραττεν[5]. Ἐκεῖνοι δὲ τούτοις ἐπαιρόμενοι, καὶ τοὺς στερουμένους τῆς χώρας προσποιούμενοι,
B. p. 534. Λούκιος μὲν πανταχόσε συνιστάς[6] τε αὐτοὺς, καὶ ἀπὸ τοῦ Καίσαρος ἀποσπῶν, περιῆει· Φουλουΐα δὲ τό τε[7] Πραινέστε[8] κατέλαβε, καὶ προσεταιριστοὺς βουλευτάς[9] τε καὶ

1. A, B, C, F, H, I, K, Sturz et Bekk.; vulg. et D, E, G : ἀνεθῆναι. Reimarus (cf. note 28) croit, contrairement à l'opinion de Casaubon, rapportée par Henri Étienne, que ce passage n'est pas en contradiction avec ces paroles de Suétone (J. César, 38) : *Annuam habitationem Romæ usque ad bina millia nummum, in Italia non ultra quingentos sestertios remisit.* « Quingenti nummi, dit-il, sunt τέταρτον μέρος bis millium. Verba ἐνιαυτοῦ ἐνὸς, conjungenda cum ἐνοίκιον, ad urbem pariter et Italiam spectant. Vide XLVII, 14. » — 2. D : προπεμφέντες.

3. C'est ce même Calénus dont Dion, au commencement du livre XLVI, rapporte le discours contre Cicéron, en faveur d'Antoine. Quant à Ventidius, c'est le même que nous verrons plus tard (XLIX, 19 et suiv.) obtenir des succès contre les Parthes. Tous les deux étaient lieutenants d'Antoine. — 4. C : ὑπερλαβεῖν ; D : ὑπερκαλεῖν.

l'Italie. De même, dans toutes les villes, partout où ils se rencontraient, il y avait bataille.

10. Pendant que ces événements se passaient de la sorte, les soldats envoyés en avant en Espagne par César excitèrent quelque trouble dans Placentia, et ne rentrèrent dans l'ordre qu'après avoir reçu de l'argent des habitants du pays; de plus, Cálénus et Ventidius, gouverneurs de la Gaule Transalpine, les empêchèrent de franchir ces montagnes; César craignit alors un échec, et voulut se réconcilier avec Fulvie et le consul. Les messages qu'il leur envoyait en son propre et privé nom n'avançant à rien, il alla trouver les vétérans et traita par leur intermédiaire. Cette démarche enhardit Lucius et Fulvie; ils réunirent à leur parti tous ceux qui avaient été dépouillés de leurs terres : Lucius allait de tout côté, les formant en ligue et les détachant de César; Fulvie se saisit de Préneste, et, entourée de sénateurs

5. Appien (V, 20) nous donne les conditions de ce traité, qui eut lieu à Téanum. — 6. Reiske : « *Sibi concilians.* Nove dictum, sed ex more Dionis. Vide LV, 29, et Indicem. Proprie est *compellens* eos in unum locum, *conciens.* » — 7. D : δὲ καὶ τότε. — 8. Velléius Paterc., II, 74 : « [Fulvia] belli sedem Præneste ceperat. » D'après Appien, V, 21, Lucius Antoine s'était également retiré à Préneste. — 9. Bekk.; vulg. et les mss. : Προσηταίριστο τοὺς βουλευτάς. Reiske (cf. Sturz, tome VII, p. 410) démontre tout ce que la vulgate a de fautif; il propose de lire : προσηταιρίσατο συχνοὺς, βουλευτάς τε καὶ ἱππέας μεθ' ἑαυτῆς οὐκ ὀλίγους ἔχουσα. Cette correction est juste pour la suite des idées, mais elle s'éloigne trop de la leçon des manuscrits; celle de Bekker, remarquable par sa simplicité, remédie également bien à tous les vices signalés par Reiske. Je l'ai adoptée.

ἱππέας ἔχουσα, τά τε ἄλλα πάντα μετ' αὐτῶν ἐβουλεύετο, καὶ τὰς παραγγέλσεις, ὡς ἑκασταχόσε ἐχρῆν, ἔπεμπε[1]. Καὶ τί[2] ταῦτα θαυμάσειεν ἄν τις, ὁπότε καὶ ξίφος παρεζώννυτο, καὶ συνθήματα τοῖς στρατιώταις ἐδίδου[3], ἐδημηγόρει τε ἐν αὐτοῖς πολλάκις; ὥστε καὶ ἐκεῖνα τῷ Καίσαρι προσίστασθαι.

11. Οὐ μέντοι ἔχων ὅπως αὐτοὺς καταλύσῃ[4] (οὐ γὰρ μόνον τῇ δυνάμει, ἀλλὰ καὶ τῇ παρὰ τῶν ἄλλων εὐνοίᾳ πολὺ αὐτῶν ἠλαττοῦτο· αὐτὸς μὲν γὰρ πολλοὺς ἐλύπει, ἐκεῖνοι δὲ πάντας ἐπῄλπιζον), πολλάκις μὲν σφᾶς ἰδίᾳ διὰ τῶν φίλων ἐς τὰς καταλλαγὰς προεκαλέσατο· ὡς δ' οὐδὲν ἤνυτεν[5], ἐκ τῶν ἐστρατευμένων πρέσβεις πρὸς αὐτοὺς ἀπέστειλε. Μάλιστα μὲν γὰρ τεύξεσθαί[6] τε αὐτῶν, καὶ τὰ παρόντα καταστήσεσθαι[7], ἔς τε τὸ ἔπειτα ἀντισχύσειν[8] ἐκ τούτου ἤλπισεν· ἂν δὲ δὴ καὶ διαμάρτῃ σφῶν, τὴν γοῦν αἰτίαν τῆς διαφορᾶς οὐκ αὐτὸς, ἀλλ' ἐκεῖνους ἔξειν ἐνόμισεν. Ὃ καὶ ἐγένετο. Ἐπειδὴ γὰρ οὐδὲ διὰ τῶν στρατιωτῶν ἐπέρανε, βουλευτὰς ἔστειλε, τάς τε συνθήκας σφίσι τὰς πρὸς τὸν Ἀντώνιον αὐτῷ γενομένας ἔκφηνας, καὶ δικαστὰς τῶν διαφορῶν δῆθεν αὐτοὺς ποιήσας. Ὡς δ' οὐδὲν οὐδὲ τότε ἐπράχθη (καὶ γὰρ ἐκεῖνοι τοῦτο μὲν, πολλὰ καὶ ὅσα ὁ Καῖσαρ οὐκ ἔμελλε ποιήσειν, ἀντιπροετείνοντο·

1. G : ἔπεμψε. — 2. D : καίτοι.

3. C'était au consul ou au général qu'il appartenait de distribuer aux soldats la tessère sur laquelle était le mot d'ordre ou de ralliement. Mais Fulvie « tum gladio cincta, virilis militiæ, » comme dit Florus, IV, 5,

et de chevaliers qui lui servaient d'auxiliaires, elle délibérait avec eux sur toutes les affaires et envoyait dès ordres partout où besoin était. Comment, d'ailleurs, s'en étonner, quand elle ceignait l'épée, donnait le mot d'ordre aux soldats, et souvent les haranguait, de manière à faire, en ces choses même, échec à César?

11. Cependant, comme il n'avait nul moyen de les renverser (il était moins puissant qu'eux et il avait bien moins encore la faveur générale, car il causait de la peine à beaucoup, tandis qu'eux, ils donnaient espoir à tous), il les engagea plusieurs fois en son privé nom, par l'intermédiaire d'amis, à se réconcilier avec lui; mais, n'obtenant rien, il leur envoya des députés choisis parmi les vétérans. Il se flattait surtout d'obtenir ce qu'il demandait, de mettre ordre au présent, et d'être, par suite, en état de leur résister à l'avenir; s'il était refusé, ce ne serait pas lui, mais eux qui seraient accusés de cette division. C'est ce qui arriva. N'ayant obtenu aucun résultat, même avec l'entremise des soldats, il députa des sénateurs, à qui il montra ses conventions avec Antoine, et qu'il fit juges du différend. Comme même alors rien ne se fit (tantôt on mettait en avant une foule de conditions que César ne devait pas exécuter, tantôt

prétendait, selon les paroles de Plutarque, τοῦ ἄρχοντος ἄρχειν καὶ στρατηγοῦντος στρατηγεῖν. — 4. F : καταλύσει. — 5. C : ἤνυττεν; B, F : ἤνυεν.
6. C : τεύξασθαι. — 7. C : καταστήσασθαι.
8. A, C, D, E : ἀντισχήσειν.

τοῦτο δὲ, πάνθ' ὅσα ἐποίουν, ἐκ τῆς τοῦ Ἀντωνίου τοῦ Μάρκου ἐντολῆς πράττειν ἔλεγον), οὕτω δὴ πρὸς τοὺς ἐστρατευμένους αὖθις ἀπέκλινε.

12. Καὶ μετὰ τοῦτο ἐς τὴν Ῥώμην ἐκεῖνοι πλήθει πολλῷ, ὡς καὶ τῷ δήμῳ τῇ τε βουλῇ κοινωσόμενοί τι, συνελθόντες, τούτων μὲν οὐδὲν ἐφρόντισαν· ἀθροισθέντες δὲ ἐς τὸ Καπιτώλιον, τάς τε συνθήκας, ἃς ὅ τε Ἀντώνιος καὶ ὁ Καῖσαρ ἐπεποίηντο, ἀναγνωσθῆναι σφίσιν ἐκέλευσαν, καὶ ἐκείνας τε ἐπεκύρωσαν, καὶ περὶ ὧν διεφέροντο ἑαυτοὺς δικαστὰς γενέσθαι ἐψηφίσαντο. Καὶ ταῦτά τε ἐς δέλτους γράψαντες καὶ κατασημηνάμενοι, ταῖς ἀειπαρθένοις[1] φυλάττειν ἔδοσαν· καὶ τῷ μὲν Καίσαρι παρόντι, τοῖς δὲ ἑτέροις διὰ πρεσβείας ἐς Γαβίους[2] ἐν ῥητῇ τινι ἡμέρᾳ πρὸς τὴν δίκην ἀπαντῆσαι προσέταξαν. Ἐπειδή τε ὁ μὲν Καῖσαρ ἕτοιμος διαδικασθῆναι ἐγένετο, ἐκεῖνοι δὲ ὑπέσχοντο μὲν ἀφίξεσθαι, οὐκ ἦλθον δὲ, φοβηθέντες ἢ καὶ ἀπαξιώσαν-
R.p.535. τες (διέσκωπτον γοῦν σφᾶς, ἄλλα τε καὶ βουλὴν Καλίγαν[3] ἀπὸ τῆς τῶν στρατιωτικῶν[4] ὑποδημάτων χρήσεως ἀποκαλοῦντες)· τοῦ τε Λουκίου καὶ τῆς Φουλουΐας, ὡς καὶ ἀδικούντων τι, κατεψηφίσαντο, καὶ τὰ τοῦ Καίσαρος ἐπρέσβευσαν. Κἀκ τούτου πολλάκις αὖθι[5] βουλευσάμενοι[6],

1. C : ἀεὶ παρθένους, en deux mots. Les Romains déposaient dans les temples, et particulièrement dans celui de Vesta, leurs testaments, les traités de paix ou d'alliance, et tous les contrats auxquels ils attachaient une grande importance. Cf. ch. 37 ; Tacite, Ann. I, 8, et les commentateurs de Suétone (César, 83). — 2. Xyl. et les éd. subséq.; les mss., excepté G : Γαΐους. — 3 Reimarus : « Sic scripsi pro vulgato καλλίγαν

on prétendait tenir une conduite de tous points conforme aux prescriptions de Marc Antoine), César alla de nouveau trouver les vétérans.

12. Ceux-ci s'étant donc, après cela, rendus en grand nombre à Rome comme pour faire une communication au peuple et au sénat, ne s'en mirent nullement en peine; réunis dans le Capitole, ils se firent lire les conventions intervenues entre Antoine et César, les confirmèrent, et se portèrent juges du différend. Ils écrivirent cette décision sur des tablettes scellées qu'ils remirent aux Vestales, et signifièrent tant à César, qui était présent, qu'aux autres, par le ministère de députés, d'avoir à se trouver au jour dit à Gabies pour y être jugés. César s'étant montré disposé à s'en rapporter à leur jugement, et ses adversaires, après avoir promis de se présenter, ayant fait défaut, soit par crainte, soit aussi par mépris (ils leur donnaient, entre autres railleries, le nom de sénat *Caligat*, à cause des chaussures militaires qu'ils portaient), les vétérans prononcèrent que Lucius et Fulvie avaient agi injustement et prirent parti pour César. Dès lors, après avoir plusieurs fois renouvelé leurs délibérations, ils entreprirent de nou-

(leçon des mss. : A, E, G, H, I, K), monitu non tantum Xylandri sed et auctoritate cod. Coisl. et Br., quanquam χαλιγάταν mavult Balduinus et Od. χαλίγων, Leunclavius. » Bekk. : χαλιγᾶταν.

4. D : στρατιωτῶν. — 5. Vulg. et les mss. : αὖθις.

6. Au lieu de πολλάκις αὖθι βουλευσάμενοι, Bekker donne en note, comme conjecture : πάλιν βουλευσάμενοι.

τόν τε πόλεμον αὖθις ἀνείλοντο, καὶ τὰ πρὸς αὐτὸν οὐχ ἡσυχῇ ἡτοιμάζοντο. Τά τε γὰρ ἄλλα, καὶ χρήματα ἀπανταχόθεν, καὶ ἐκ τῶν ἱερῶν ἤθροισαν[1]· τὰ γὰρ ἀναθήματα, ὅσα γε[2] καὶ ἐξαργυρισθῆναι ἐδύνατο, τά τε ἐν τῇ ἄλλῃ Ἰταλίᾳ τῇ ἐν τῇ ἐπικρατείᾳ αὐτῶν οὔσῃ, καὶ τὰ[3] ἐν αὐτῇ τῇ Ῥώμῃ ἀνακείμενα καθεῖλον. Καὶ αὐτοῖς καὶ ἐκ τῆς Γαλατίας τῆς Τογάτης, ἣ καὶ ἐς τὸν τῆς Ἰταλίας ἤδη νομὸν[4], ὥστε μηδένα ἄλλον[5] προφάσει τῆς ἐνταῦθα ἀρχῆς στρατιώτας ἐντὸς τῶν Ἄλπεων τρέφειν, ἐσεγέγραπτο, καὶ χρήματα καὶ στρατιῶται ἦλθον.

13. Ὅ τε οὖν Καῖσαρ παρεσκευάζετο, καὶ ἡ Φουλουΐα καὶ ὁ Λούκιος τά τε πρόσφορα ἐπορίζοντο, καὶ τὰς δυνάμεις συνεκρότουν. Κἀν τούτῳ καὶ ἀντεπρεσβεύοντο, καὶ διέπεμπον ἑκασταχόσε καὶ στρατιώτας καὶ στρατιάρχους ἑκάτεροι· καὶ τὰ μὲν προκατελάμβανον[6], τῶν δ' ἀπεκρούοντο[7]. Καὶ αὐτῶν ἐγὼ τὰ μὲν πολλὰ, καὶ ἐν οἷς οὔτε τι μέγα οὔτ' ἀξιόλογον ἐπράχθη, παρήσω· τὰ δὲ δὴ λόγου μάλιστα ἄξια συντόμως διηγήσομαι. Ὁ Καῖσαρ ἐπὶ Νουρσίαν ἐς τοὺς Σαβίνους στρατεύσας, τὴν μὲν φρουρὰν τὴν προκαθημένην σφῶν ἐτρέψατο, τῆς δὲ δὴ πόλεως ὑπὸ Τισιήνου[8] Γάλλου ἀπεκρούσθη. Μεταστὰς οὖν ἐς τὴν Ὀμβρικὴν, Σεντινάτας ἐπολιόρκησε μὲν, οὐ μέντοι καὶ εἶλεν

1. Appien, V, 24 : (Καῖσαρ) ἐκ τῶν ἱερῶν ἐδανείζετο, σὺν χάριτι ἀποδώσειν ὑπισχνούμενος, ὑπό τε τῆς Ῥώμης ἐκ τοῦ Καπιτωλίου, καὶ ἀπὸ Ἀντίου καὶ Λανουβίου καὶ Νεμοῦς καὶ Τίβυρος, ἐν αἷς μάλιστα νῦν εἰσι θησαυροὶ χρημάτων δαψιλεῖς. — 2. Reiske et Bekk ; vulg. : τε. — 3. C om.

veau la guerre, et s'y préparèrent activement. Ils recueillirent de l'argent de toutes parts, même des temples. En effet, les offrandes et tous les objets pouvant être convertis en argent, qui existaient soit dans la partie de l'Italie soumise à leur pouvoir, soit à Rome même, furent enlevés par eux. La Gaule Togata, qui déjà faisait partie de la préfecture d'Italie, en sorte que personne, autre que les triumvirs, n'entretenait, à titre de gouverneur de cette province, de soldats en deçà des Alpes, leur fournit des hommes et de l'argent.

13. Tandis que César faisait ses préparatifs, Fulvie et Lucius se procuraient des ressources et rassemblaient leurs troupes. Dans l'intervalle, les uns et les autres traitaient par ambassadeurs et envoyaient partout des soldats et des tribuns militaires; tantôt ils arrivaient à temps pour réussir, tantôt ils échouaient. Je passerai sous silence la plupart des faits qui ne présentent rien de grand ni d'intéressant, et je me contenterai de raconter brièvement ceux qui offrent le plus d'importance. César, dans une expédition contre Nursia, dans le pays des Sabins, mit en fuite les postes avancés, mais il échoua contre la ville, défendue par Tisiénus Gallus. A la suite d'une marche en arrière dans l'Ombrie, il vint mettre le siége devant Sentinum sans réussir à la

4. Cf XLVI, 55. D : νόμον. — 5. Oddey : *Alius præter triumviros*, ce qui rend inutile la correction ἄλλως, proposée par Leunclavius.
6. C, D : προκατβλαβον. — 7. C, D : τῶν δὲ ἀπεκρούοντο (C : ἀπεκρουόντων). — 8. B, F, G, K : Τιτισιήνου.

αὐτούς[1]· τοῦ γὰρ Λουκίου[2] ἐν τούτῳ τὸ μὲν πρῶτον στρατιώτας λάθρα κατ' ἄλλην καὶ[3] ἄλλην πρόφασιν ἐς τὴν Ῥώμην πρὸς τοὺς φίλους πέμψαντος, ἔπειτα δὲ καὶ αὐτοῦ ἐξαίφνης ἐπελθόντος, καὶ τό τε ἱππικὸν ἀπαντῆσάν οἱ κρατήσαντος, καὶ[4] τοὺς πεζοὺς ἐς τὸ τεῖχος καταράξαντος, κἀκ τούτου καὶ τὸ ἄστυ, συνεπιθεμένων τοῖς ἔνδοθεν ἀμυνομένοις τῶν προαφιγμένων[5], λαβόντος, οὔτε γὰρ ὁ Λέπιδος ὁ τὴν φυλακὴν αὐτοῦ ἐπιτετραμμένος ἀντέπραξέ τι ὑπὸ τῆς ἐμφύτου νωθείας, οὔτε ὁ Σερουΐλιος[6] ὁ ὕπατος, ἡσυχαίτερός πως ὤν· πυθόμενος ταῦθ' ὁ Καῖσαρ, τοῖς μὲν Σεντινάταις Κύϊντον Σαλουϊδίηνον Ῥοῦφον[7] παρακατέλιπεν, αὐτὸς δὲ πρὸς τὴν Ῥώμην ὥρμησε. Μαθὼν οὖν τοῦτο ὁ Λούκιος προὐπεξῆλθε, διαπραξάμενος ψηφισθῆναί οἱ ὡς ἐπὶ πολέμῳ τινὶ ἐκστρατεύσαι[8]· καὶ ἔν γε τῇ στρατιωτικῇ σκευῇ ἐδημηγόρησεν, ὃ μηδεὶς ἄλλος ἐπεποιήκει. Καὶ ὁμῶς[9] ὁ Καῖσαρ ἀμαχί τε ἐς τὸ ἄστυ ἐσεδέχθη καὶ ἐπειδὴ ἐπιδιώξας αὐτὸν οὐ κατέλαβεν, ἀνέστρεψε, καὶ
R.p.536. φρουρὰν τῆς πόλεως ἀκριβεστέραν ἐποιήσατο. Κἀν τούτῳ ὁ Ῥοῦφος, ὡς τάχιστα ἐκεῖνός τε ἀπὸ τῶν Σεντινατῶν[10] ἀπεχώρησε, καὶ Γάϊος Φούρνιος[11], ὁ τὸ τεῖχος φρουρῶν,

1. Reiske (cf. sa note) : αὐτός.

2. G : γὰρ κίου, avec renvoi, et, en marge, d'une autre main, Λου.

3. Dans G, les mots τό τε ἱππικὸν... κρατήσαντος καί sont en marge et d'une autre main. — 4. Leuncl. et les éd. subséq., d'accord avec les mss., excepté D et E qui portent προσαφιγμένων. — 5. Leuncl. om.

6. Cf., ci-après, ch. 17 et 53; et Appien, V, 34. — 7. Appien, V, 34, rapporte, de plus, que Lucius fut proclamé *Imperator* par le peuple, αὐτοκράτωρ ὑπὸ τοῦ δήμου προσαγορευθεὶς ἐχώρει. Florus, au contraire,

prendre; car, dans l'intervalle, Lucius ayant d'abord, tantôt sous un prétexte, tantôt sous un autre, secrètement envoyé à Rome des soldats à ses amis, puis étant lui-même survenu tout à coup, après avoir vaincu la cavalerie qui s'avançait à sa rencontre, avoir refoulé l'infanterie dans les murs et pris la ville à l'aide des soldats qui, envoyés par lui à l'avance, se jetèrent sur les défenseurs du dedans, sans que Lépidus, à qui la garde de la ville était confiée, fît, par suite de son indolence naturelle, rien pour s'y opposer, non plus que le consul Servilius, trop ami du repos; César, quand il en fut instruit, laissa Q. Salvidiénus Rufus devant Sentinum, et se dirigea en personne sur Rome. A la nouvelle de son arrivée, Lucius sortit au-devant de lui, après avoir fait décréter qu'il marcherait contre César comme on marche à la guerre, et harangua le peuple en habit militaire, ce qu'aucun autre n'avait fait avant lui. Quoi qu'il en soit, César fut reçu dans Rome sans coup férir, et, après avoir poursuivi Lucius sans pouvoir l'atteindre, il revint sur ses pas et renforça la garnison. Sur ces entrefaites, Rufus, aussitôt que César se fut éloigné de Sentinum et que C. Furnius, qui avait la garde des remparts,

IV, 5 : « Jam non privatis, sed totius senatus suffragiis judicatum hostem Cæsar aggressus... » — 8. Vulg. : ἐκστρατεῦσαι.

9. Vulg. et les mss. : οὕτως. — 10. Sturz (tome VIII) et Bekk.; vulg. : Σεντινάτων.

11. Reimarus : « Hic est Furnius, cui Antonianas partes secuto veniam deinde apud Augustum impetravit filius, ut refert Seneca, II, 25, de Beneficiis. » Furnius fut ensuite mis au rang des consulaires par Auguste (LII, 42), et vainquit les Cantabres et les Astures (LIV, 5).

ἐπεξῆλθεν ἐπὶ πολὺ διώκων αὐτὸν, προσέβαλέ[1] τε ἀπροσδοκήτοις τοῖς ἔνδον οὖσι, καὶ ἑλὼν τὴν πόλιν διήρπασε καὶ κατέκαυσε. Νουρσινοὶ δὲ ἐς μὲν ὁμολογίαν μηδὲν κακὸν παθόντες ἦλθον· ἐπεὶ μέντοι τοὺς ἐν τῇ μάχῃ τῇ πρὸς τὸν Καίσαρα σφίσι γενομένῃ πεσόντας θάψαντες, ἐπέγραψαν τοῖς μνημείοις αὐτῶν, ὅτι ὑπὲρ τῆς ἐλευθερίας ἀγωνιζόμενοι ἐτελεύτησαν, παμπόλλοις χρήμασιν ἐζημιώθησαν, ὥστε καὶ τὴν πόλιν καὶ τὴν χώραν ἅμα πᾶσαν ἐκλιπεῖν[2]. Καὶ οἱ μὲν ταῦτ' ἔπραττον.

14. Ὁ δὲ δὴ[3] Λούκιος, ὡς τότε ἐκ τῆς Ῥώμης ἀπῆρεν, ὥρμησε μὲν ἐς τὴν Γαλατίαν, εἰρχθεὶς δὲ τῆς ὁδοῦ, πρὸς Περουσίαν[4] Τυρσηνίδα πόλιν ἀπετράπετο· καὶ αὐτὸν ἐνταῦθα πρότερον[5] μὲν οἱ ὕπαρχοι τοῦ Καίσαρος[6], ἔπειτα δὲ καὶ αὐτὸς ἐκεῖνος, ἀπολαβόντες ἐπολιόρκουν. Χρονίου δὲ δὴ τῆς προσεδρίας σφίσι γιγνομένης (τό τε γὰρ χωρίον τῇ τε φύσει καρτερόν ἐστι, καὶ τοῖς ἐπιτηδείοις ἱκανῶς παρεσκεύαστο, καὶ ἱππεῖς[7] προεκπεμφθέντες[8] ὑπ' αὐτοῦ, πρὶν παντελῶς περιστοιχισθῆναι, δεινῶς σφᾶς ἐλύπουν· καὶ προσέτι καὶ ἕτεροι πολλοὶ σπουδῇ ἄλλος ἄλλοθεν ἐπήμυνον αὐτῷ), πολλὰ μὲν πρὸς τούτους ὡς ἑκάστους[9], πολλὰ δὲ καὶ πρὸς τοῖς τείχεσιν ἐπράχθη· μέχρις οὗ, καίτοι

1. C : προσέβαλλε. — 2. Selon Suétone (12), c'est sur le tombeau de ceux qui avaient succombé devant Mutina qu'avait été gravée cette inscription, à cause de laquelle César « Nursinos grandi pecunia, et quam pendere nequirent, mulctatos, extorres egit oppido... »

3. A, B, C om.

4. D : περιουσίαν. — 5. F, G : πρότεροι. — 6. Agrippa et Salvidiénus. Cf. Appien, V, 31. — 7. A : ἱππῆς, ici et partout — 8. Correction de Henri

fut sorti au loin à sa poursuite, fondit à l'improviste sur ceux qui étaient dans l'intérieur de la ville, et, après l'avoir prise, la pilla et la livra aux flammes. Quant aux Nursiniens, ils capitulèrent avant d'éprouver aucun dommage; cependant, comme, en donnant la sépulture aux soldats morts dans la bataille livrée par eux à César, ils avaient gravé sur leurs monuments qu'ils étaient morts en combattant pour la liberté, ils furent punis d'une amende tellement forte qu'ils en abandonnèrent leur ville et tout leur territoire. Voilà ce qui se faisait.

14. Lucius alors, au sortir de Rome, partit pour la Gaule, mais, arrêté en chemin, il se dirigea sur Péruse, ville d'Étrurie; là, les lieutenants de César d'abord, puis César lui-même, vinrent l'assiéger. Le siége se prolongeant (la place était naturellement forte et suffisamment approvisionnée, et les cavaliers envoyés par Lucius avant l'entier investissement causaient beaucoup de mal à César; elle était, en outre, vigoureusement défendue par une foule d'auxiliaires venus de divers côtés), il y eut plusieurs combats tant contre chacun de ces corps auxiliaires qu'au pied des remparts; jusqu'au moment où, bien qu'ayant presque toujours eu

Étienne, adoptée par les éd. subséq., au lieu de προσεκπεμφθέντες donné par D, E, F, H. — 9. C, D, E, F, H : πρὸς τούτοις ὡς ἑκάστους. « Sane alterutrum, dit Reimarus, τούτους ὡς ἑκάστους aut τούτοις ὡς ἑκάστοις scribendum erat, quorum illud præferendum, quia πρὸς non vicinitatem loci significat, ut in sequenti πρὸς τοῖς τείχεσι, sed adversam et infestam actionem. » Dans G, les mots ὡς ἑκάστους sont en marge et d'une autre main.

πλεονεκτοῦντες τὰ πλείω οἱ περὶ τὸν Λούκιον, ὅμως ὑπὸ λιμοῦ ἑάλωσαν[1]. Καὶ αὐτὸς μὲν, ἄλλοι τέ τινες ἄδειαν εὗρον το[2], οἱ δὲ δὴ πλείους τῶν τε βουλευτῶν καὶ τῶν ἱππέων ἐφθάρησαν[3]. Καὶ λόγος γε[4] ἔχει, ὅτι οὐδ' ἁπλῶς τοῦτο ἔπαθον, ἀλλ' ἐπὶ τὸν βωμὸν τὸν τῷ Καίσαρι τῷ προτέρῳ ὡσιωμένον[5] ἀχθέντες ἱππεῖς τετρακόσιοι[6], καὶ βουλευταὶ ἄλλοι τε καὶ ὁ Καννούτιος ὁ Τιβέριος[7], ὃς[8] ποτε
R.p.537. ἐν τῇ δημαρχίᾳ[9] τὸ πλῆθος τῷ Ὀκταουϊανῷ ἤθροισεν), ἐτύθησαν. Τῶν δὲ Περουσινῶν[10], καὶ τῶν ἄλλων τῶν ἐκεῖ ἁλόντων, οἱ πλείους ἀπώλοντο[11]· καὶ ἡ πόλις αὐτὴ[12], πλὴν τοῦ Ἡφαιστείου[13], τοῦ τε τῆς Ἥρας ἕδους, πᾶσα κατεκαύθη. Τοῦτο δὲ (ἐσώθη γάρ πως κατὰ τύχην) ἀνήχθη τε ἐς τὴν Ῥώμην ἐξ ὄψεως ὀνείρου[14], ἣν ὁ Καῖσαρ εἶδε, καὶ παρέσχε καὶ τῇ πόλει πρὸς τῶν βουλομένων συνοικισθῆναι[15], πλὴν

1. Florus, IV, 5 : « Cæsar... redegit compulitque ad extrema deditionis turpi et nihil non experta fame. » Appien, V, 32 et suiv., entre, à ce sujet, dans de plus grands détails.

2. Cf. Appien, V, 48.

3. Suétone (15) : « Perusia capta, in plurimos animadvertit; orare veniam, vel excusare se conantibus una voce occurrens, Moriendum esse. »

4. Correction de Henri Étienne, suivie par les édit. subséq., pour τε, que donnent B, E, H.

5. G : ὡσιομένος (*sic*).

6. Les mss.; Bekk. : τριακόσιοι, ce qui est conforme à Suétone (15) : « Scribunt quidam trecentos ex dediticiis electos, utriusque ordinis, ad aram divo Julio exstructam, idibus martiis hostiarum more mactatos. » A propos de ces mots : *hostiarum more*, Sturz fait remarquer que les prisonniers furent frappés de la hache, au lieu d'être passés au fil de l'épée. Ce sont les *Perusinæ aræ* de Sénèque (de la Clémence, I, 11).

7. Correction de Fabricius, adoptée par les éd. subséq.; vulg. et les mss. : Τῖτος (D, H, de plus : Κανούτιος, de même Appien, V, 49).

la supériorité, les partisans de Lucius furent pris par famine. Lucius et quelques autres obtinrent l'impunité, mais la plupart des sénateurs et des chevaliers furent mis à mort. Suivant la tradition, leur mort ne fut pas une mort ordinaire : menés à l'autel consacré au premier César, trois cents chevaliers et des sénateurs, au nombre desquels était Tibérius Canutius (le même qui, autrefois, étant tribun, avait convoqué le peuple en faveur d'Octavien), y furent offerts en sacrifice. La plupart des Pérusiens et des autres qui furent pris avec eux périrent, et la ville elle-même, à l'exception du temple de Vulcain et de la statue de Junon, fut tout entière livrée aux flammes. Cette statue, qui dut son salut, pour ainsi dire, au hasard, fut transportée à Rome à cause d'un songe qu'eut César, et valut à ceux qui le voulurent la permission d'habiter la ville comme

8. A : ὃ. — 9. Cf. XLV, 6. — 10. D : Περισουνῶν. — 11. De ce nombre (cf. L 9) était L. Messius. — 12. E, H : αὕτη. — 13. Appien, V, 49, rapporte que l'intention de César avait été d'abord de livrer Pérouse au pillage; mais qu'un certain Cestius, citoyen de cette ville, homme d'un esprit peu sain et qui se faisait appeler le Macédonien parce qu'il avait autrefois servi en Macédoine, mit le feu à sa propre maison et se jeta dans les flammes : l'incendie, propagé par le vent, embrasa toute la ville, à l'exception du temple de Vulcain. Quant à la statue de Junon, Appien n'en parle pas; mais il atteste que cette déesse était, à cette époque, l'objet d'un culte particulier de la part des Pérusiens, et que, dans la suite, ceux qui rebâtirent la ville, τὸν Ἥραιστον σφίσιν ἔθεντο θεὸν εἶναι πάτριον ἀντὶ τῆς Ἥρας.

14. Suétone, bien qu'il nous apprenne (91) qu'Octave s'occupait beaucoup de ses rêves et de ce qui le regardait dans ceux d'autrui, ne fait aucune mention du songe rapporté ici par Dion. « Erunt vero, dit Reimarus, qui ex consimili viso conjicient, eum somniasse Junonem queri cultores sibi abductos, vasta'a Perusia. » — 15. Bekk., comme conjecture, en note : ἀνοικισθῆναι.

ὅτι[1] τῆς χώρας οὐδὲν ὑπὲρ ἑπτὰ καὶ ἥμισυ σταδίους ἐκτήσαντο.

15. Ἐκείνης[2] δ' οὖν ἐπί τε Γναίου Καλουΐνου[3] δεύτερον καὶ ἐπ' Ἀσινίου Πωλίωνος ὑπάτων ἁλούσης, καὶ τἆλλα τὰ ἐν τῇ Ἰταλίᾳ, τὰ μὲν βίᾳ, τὰ δὲ ἐθελοντὶ[4], τῷ Καίσαρι προσεχώρησε· καὶ διὰ τοῦθ' ἥ τε Φουλουΐα πρὸς τὸν ἄνδρα μετὰ τῶν τέκνων ἀπέδρα[5], καὶ τῶν ἄλλων τῶν πρώτων συχνοί, οἱ μὲν πρὸς ἐκεῖνον, οἱ δὲ καὶ[6] πρὸς τὸν Σέξτον ἐς τὴν Σικελίαν ἀπεχώρησαν. Ἥ τε Ἰουλία ἡ τῶν Ἀντωνίων μήτηρ τὸ μὲν πρῶτον ἐνταῦθα ἦλθε, καὶ πάνυ φιλικῶς ὑπὸ τοῦ Σέξτου ὑπεδέχθη· ἔπειτα δὲ πρὸς τὸν υἱὸν τὸν Μάρκον ὑπ' αὐτοῦ ἐπέμφθη, λόγους τέ οἱ ὑπὲρ φιλίας καὶ πρεσβέας[7] ἄγουσα. Μετὰ τούτων[8] τῶν τότε πρὸς τὸν Ἀντώνιον ἐκ τῆς Ἰταλίας ἐκχωρησάντων, καὶ Κλαύδιος Τιβέριος Νέρων ἔφυγε. Φρουρὰν γάρ τινα ἐν τῇ Καμπανίᾳ εἶχε, καὶ ἐπειδὴ καθυπέρτερα τὰ τοῦ Καίσαρος ἐγένετο, ἀπῆρε σύν τε τῇ γυναικὶ Λιουΐᾳ Δρουσίλλῃ, καὶ σὺν[9] τῷ υἱεῖ Τιβερίῳ Κλαυδίῳ Νέρωνι· ὥστε καὶ τοῦτο ἐν τοῖς παραδοξοτάτοις συμβῆναι· ἥ τε γὰρ Λιουΐα αὕτη, ἡ τὸν Καίσαρα τότε φυγοῦσα, μετὰ ταῦτα αὐτῷ ἐγήματο, καὶ ὁ Τιβέριος οὗτος, ὁ σὺν τοῖς τοκεῦσι τότε

1. E : ἔτι. — 2. C, D : ἐκείνοις.
3. E : Καλυήνου
4. Bekk., mot plus régulier, suivant Sturz, que ἐθελοντεὶ donné en marge par Leuncl.; vulg. : ἐθελοντῇ.
5. A Putéoli, et de là à Brindes, suivant Appien, V, 50.

colons, sans toutefois qu'il leur fût accordé plus de sept stades et demi de terrain.

15. La prise de cette ville, qui eut lieu sous le second consulat de Cnéius Calvinus et le premier d'Asinius Pollion, eut pour résultat de faire passer, partie de bon gré, partie de force, le reste de l'Italie du côté de César; Fulvie s'enfuit, pour cette raison, avec ses enfants, auprès de son mari, tandis qu'un grand nombre de ses principaux partisans se retirèrent, les uns vers Antoine, les autres vers Sextus, en Sicile. Julie, mère des Antoines, se rendit d'abord dans cette contrée, où elle reçut un accueil tout amical de la part de Sextus, qui ensuite l'envoya, avec des ambassadeurs, porter à son fils des ouvertures de paix. Parmi les fugitifs qui alors quittèrent l'Italie pour aller rejoindre Antoine, se trouvait Claudius Tibérius Néron. Il commandait une garnison dans la Campanie; quand César eut le dessus, il partit avec sa femme, Livia Drusilla, et avec son fils, Tibérius Claudius Néron, ce qui donna lieu à une chose des plus étranges : car cette même Livie, qui alors fuyait César, l'épousa dans la suite, et ce même Tibère, qui alors

An de Rome 714. Calvinus consul II et Pollion consul I

6. E om. — 7. Vulg. et les mots : πρεσβειας. Reiske : « Id est πρεσβέας, *legatos*, nec levis suspicio nascitur Dionem ita reliquisse. » Avec Bekk., j'ai adopté cette conjecture.

8. Reiske : μετὰ δὲ τούτων.

9. D om.

ἐκδρὰς, τὴν αὐτοκράτορα ἀρχὴν αὐτοῦ διεδέξατο[1]. Ταῦτα μὲν οὖν ὕστερον ἐγένετο.

16. Τότε δὲ τήν τε εἰρηνικὴν ἐσθῆτα οἱ ἐν τῇ Ῥώμῃ ὄντες ἀνέλαβον[2] (ἐκδεδυκότες γὰρ αὐτὴν ἄνευ ψηφίσματος ἀνάγκῃ τοῦ δήμου ἦσαν), καὶ αὐτοί τε ἑώρταζον, καὶ τὸν Καίσαρα ἔν τε στολῇ ἐπινικίῳ ἐς τὸ ἄστυ ἐσεκόμισαν, καὶ δαφνίνῳ στεφάνῳ ἐτίμησαν, ὥσθ' ὁσάκις οἱ τὰ νικητήρια πέμψαντες εἰώθεσαν[3] αὐτῷ χρῆσθαι, καὶ ἐκεῖνόν[4] οἱ κο-
R. p.558. σμεῖσθαι[5]. Καῖσαρ δὲ, ἐπειδὴ τά τε ἐν τῇ Ἰταλίᾳ κατείργαστο[6], καὶ ὁ κόλπος ὁ Ἰόνιος ἠλευθέρωτο[7] (ὁ γὰρ Δομίτιος, ἀπογνοὺς μηκέτι καθ' ἑαυτὸν ἰσχύσειν, ἀπέπλευσε πρὸς τὸν Ἀντώνιον), παρεσκευάζετο μὲν ὡς ἐπὶ τὸν Σέξτον ὁρμήσων· αἰσθόμενος δὲ τήν τε δύναμιν αὐτοῦ, καὶ ὅτι τῷ Ἀντωνίῳ διά τε τῆς μητρὸς καὶ διὰ τῶν πρέσβεων ἐκεκοινολόγητο, ἔδεισε[8] μὴ καὶ ἀμφοῖν ἅμα πολεμήσῃ, καὶ τὸν Σέξτον, ὡς καὶ πιστότερον ἢ καὶ ἰσχυρότερον τοῦ Ἀντωνίου προτιμήσας, τήν τε μητέρα αὐτῷ Μουκίαν[9] ἔπεμψε, καὶ τὴν τοῦ πενθεροῦ αὐτοῦ Λουκίου Σκριβωνίου Λίβωνος ἀδελφὴν ἔγημεν[10]· εἴ πως ἔκ τε τῆς εὐεργεσίας καὶ ἐκ τῆς συγγενείας φίλον αὐτὸν ποιήσαιτο.

17. Ὁ γὰρ Σέξτος, ὡς τότε ἐκ τῆς Ἰβηρίας κατὰ τὰς[11] πρὸς τὸν Λέπιδον συνθήκας[12] ἀπηλλάγη, καὶ μετὰ τοῦτο

1. Cf. Velléius Paterc., II, 75; Suétone, Tibère, 4. C, D, H : ἐδέξατο.
2. C, D : ἀνέβαλον. — 3. Sturz et Bekk.; vulg.: εἰώθεισαν; C, F : εἰώθησαν.
4. Reiske : « Lege αὐτῷ, *ea*, corona laurea puta. Nam ἐκεῖνον ad Augustum [*sic*, Cæsarem] redit. » — 5. A, G : κομίσθαι.
6. Bekk.; vulg. et les mss. : κατειργάσατο. — 7. Cf. ch. 7. D : ἠλευθέ-

s'échappait avec ses parents, fut son successeur à l'empire. Mais cela n'eut lieu que plus tard.

16. Pour le moment, les habitants de Rome reprirent les habits de paix (ils les avaient quittés sans décret, contraints par le peuple), célébrèrent des fêtes, ramenèrent dans la ville César revêtu de la toge triomphale, et l'honorèrent d'une couronne qu'il devait porter dans toutes les occasions où ceux qui ont obtenu le triomphe avaient coutume d'en user. César, après avoir terminé les affaires d'Italie et délivré le golfe d'Ionie (Domitius, désespérant d'être désormais assez fort à lui seul, avait fait voile vers Antoine), se préparait à marcher contre Sextus; mais, instruit de sa puissance et des communications qu'il avait eues avec Antoine par l'entremise de sa mère et d'ambassadeurs, il craignit d'avoir à les combattre tous les deux à la fois, et, jugeant Sextus plus fidèle et, peut-être aussi, plus puissant qu'Antoine, il lui envoya sa mère Mucia, et épousa la sœur de L. Scribonius Libon, son beau-père, pour tâcher de se concilier son amitié par ce bienfait et par cette alliance.

17. Sextus, qui, conformément à ses conventions avec Lépidus, avait évacué l'Espagne et reçu, peu de temps

ρετο. — 8, F : ἐδέησε. — 9. C : Μινουκίαν. — 10. Après la répudiation de Claudia, fille de Fulvie, il épousa, dit Suétone (62), Scribonia, veuve de deux consulaires, avec laquelle il divorça ensuite pour épouser Livia Drusilla. Cf., ci-après, ch. 34, et Appien, V, 53. — 11. G om.

12. Cf. XLV, 10.

ναύαρχος οὐ πολλῷ ὕστερον κατέστη[1], τῆς μὲν ἀρχῆς ὑπὸ τοῦ Καίσαρος παρελύθη· τοῦ δὲ δὴ ναυτικοῦ καὶ ὡς ἀντεχόμενος, ἐτόλμησε μὲν ἐς τὴν Ἰταλίαν πλεῦσαι. Ἐπικρατούντων δὲ ἤδη τῶν ἀμφὶ τὸν Καίσαρα αὐτῆς, μαθὼν ὅτι ἐν τοῖς σφαγεῦσι τοῖς τοῦ πατρὸς αὐτοῦ ἐάλωκε, τῆς μὲν ἠπείρου ἀπέσχετο, κατὰ δὲ δὴ τὰς νήσους περιπλέων, τά τε γιγνόμενα ἐκαραδόκει, καὶ τὴν τροφὴν οὐκ ἐξ ἀδικημάτων ἐπορίζετο· ἅτε γὰρ μὴ μετεσχηκὼς τοῦ φόνου, καὶ ὑπ' αὐτοῦ τοῦ Καίσαρος ἤλπιζε καταχθήσεσθαι. Ἐπεὶ μέντοι καὶ ἐν τῷ λευκώματι τὸ ὄνομα αὐτοῦ ἐξετέθη[2], καὶ ἔγνω καὶ ἐπ' αὐτῷ ἐπικεκηρυγμένον[3], ἀπέγνω τε τὴν δι' αὐτοῦ κάθοδον, καὶ πρὸς πόλεμον ἡτοιμάζετο. Ναυπηγίαν τε γὰρ τριηρῶν ἐποιεῖτο, καὶ τοὺς αὐτομολοῦντας ἐδέχετο[4], τούς τε καταποντιστὰς προσηταιρίζετο, καὶ τοὺς ἐκπίπτοντας ὑπελάμβανε. Κἀκ τούτων ἐν[5] ὀλίγῳ τε ἰσχυρὸς ἐγένετο, καὶ τῆς πρὸς τῇ Ἰταλίᾳ[6] θαλάσσης ἐκράτησεν· ἔς τε τοὺς λιμένας αὐτῆς ἀπέβαινε, καὶ τὰ πλοῖα ἀπέσπα, ἁρπαγάς τε ἐποιεῖτο. Προχωρούντων δὲ αὐτῷ τῶν πραγμάτων, ὥστε καὶ στρατιώτας καὶ χρήματα ἀπ' αὐτῶν πορίζειν, ἐς Σικελίαν ἔπλευσε· καὶ Μύλας μὲν, τήν τε Τυνδαρίδα[7] ἀμαχὶ κατέσχε, τῆς δὲ Μεσσήνης ὑπὸ Πομ-

1. Cf. XLVI, 40, et XLVII, 12. Dans ce dernier passage, il est aussi parlé de la destitution de Sextus par César.

2. Cf. XLVII, 12. — 3. Odd., combattu par Reim., et approuvé par Reiske, propose de lire ἐπικεκηρυγμένος. Reiske, d'un autre côté, propose, soit ἑαυτῷ (Bekk. donne, en note, cette conjecture), soit ἐφ' ἑαυτῷ, soit ὑπ' αὐτοῦ. Dans ses *Addenda*, Reimarus déclare que, s'il faut changer quelque chose, il préfère αὐτῷ sans préposition.

après, le commandement de la flotte, en avait été dépouillé par César; continuant néanmoins à garder la flotte, il osa faire voile contre l'Italie. Mais, voyant que César en était déjà maître, instruit, d'ailleurs, qu'il était lui-même compris dans la condamnation des meurtriers du père de César, il se tint loin du continent, et, côtoyant les îles, il attendait avec anxiété et pourvoyait à sa subsistance sans commettre aucune déprédation; car, comme il n'avait eu aucune part au meurtre, il espérait être rappelé par César lui-même. Lorsque cependant son nom eut été affiché sur les listes et qu'il sut que sa tête était à prix, il désespéra d'obtenir son retour par César, et fit ses préparatifs de guerre. Il se mit à construire des trirèmes, il accueillit les fugitifs, s'associa les pirates et prit les exilés sous sa protection. Par cette manière d'agir, il ne tarda pas à être puissant et maître de la mer qui baigne l'Italie : il entrait dans les ports, emmenait les vaisseaux et exerçait des rapines. Ces expéditions ayant réussi au point de lui procurer et des soldats et de l'argent, il fit voile pour la Sicile, où il s'empara de Myles et de Tyndaris sans coup férir, mais

4. Cf. XLVII, 12, et Appien, IV et V : D : ἐδέχοντο.

5. Correction de Xyl., adoptée par Henri Etienne et les éd. subséq., confirmée par B, C, G, I, K; vulg. et D, E, F, H : οὐκ. Peut-être vaudrait-il mieux οὖν

6. C, D : τῇ πρὸς τῆς Ἰταλίας. — 7. Correction de Xyl. (cf. sa note), adoptée par les éd. subséq., confirmée par Zon. et A, B, C, I, K; vulg. et E, F, G, H : Τυῤῥηνίδα; D : Τηῤῥηνίδα.

πηΐου[1] Βιθυνικοῦ[2], τοῦ τότε τῆς Σικελίας ἄρχοντος, ἀπεκρούσθη. Οὐ μέντοι καὶ παντελῶς αὐτῆς ἀπέστη, ἀλλὰ τήν τε χώραν κατατρέχων, καὶ τὴν ἐσκομιδὴν τῶν ἐπιτηδείων κωλύων, τῶν τε προσβοηθησάντων σφίσι, τοὺς μὲν, φόβῳ μὴ καὶ τὰ αὐτὰ πάθωσι, τοὺς δὲ, καὶ ἐξ ἐνέδρας τινὸς κακώσει προσθέμενος, τόν τε ταμίαν σὺν τοῖς χρή-
R.p.539. μασι προσεποιήσατο, καὶ τέλος καὶ τὴν Μεσσήνην, τόν τε Βιθυνικὸν, ὡς καὶ ἀπὸ τῆς ἴσης οἱ ἄρξοντα, καθ' ὁμολογίαν ἔλαβε. Καὶ τοῦτον μὲν οὐδὲν τότε γε κακὸν εἰργάσατο, ἐκείνους δὲ τά τε ὅπλα καὶ τὰ χρήματα ἀφείλετο. Καὶ μετὰ τοῦτο τάς τε Συρακούσας καὶ ἄλλας τινὰς πόλεις ὑπηγάγετο[3], καὶ στρατιώτας τε ἀπ' αὐτῶν πλείους καὶ ναυτικὸν ἰσχυρώτατον συνήγαγε· καί τινα αὐτῷ δύναμιν[4] καὶ[5] Κύϊντος Κορνουφίκιος[6] ἐκ τῆς Ἀφρικῆς ἔπεμψε. Καὶ ὁ μὲν οὕτως ηὔξετο[7].

18. Καῖσαρ δὲ τέως μὲν οὐδεμίαν ἐπιστροφὴν αὐτοῦ, τῇ τε ἐκείνου καταφρονήσει, καὶ τῇ τῶν ἐν χερσὶν ἀσχολίᾳ, ἐποιήσατο[8]· ἐπεὶ δ' ὑπό τε τοῦ λιμοῦ φθορὰ πολλὴ ἐν τῷ ἄστει ἐγένετο[9], καὶ ὁ Σέξτος καὶ τῆς Ἰταλίας ἐπείρασεν, οὕτω δὴ ναυτικόν τέ τι κατασκευάζεσθαι ἤρξατο, καὶ τὸν Ῥοῦφον τὸν Σαλουϊδιήνον[10] σὺν δυνάμει πολλῇ ἐς

1. F : ὑπὸ τοῦ Πομπηΐου.

2. A. Rufus Pompée, surnommé Bithynicus, à cause de ses exploits en Bithynie, était propréteur de Sicile. Cf. Appien, IV, et l'Epitome de Tite-Live, CXXIII. — 3. C : ἐπηγάγετο. — 4. Gron., d'après A, et B, F, G, I, K, vulg. et C, D, E, H (ce dernier indique une lacune) om. : καὶ ναυτικὸν... δύναμιν. Cette lacune avait été déjà soupçonnée par Leuncl., qui a essayé

fut repoussé de Messine par Pompéius Bithynicus, alors gouverneur de Sicile. Cependant il ne s'éloigna pas complétement de cette ville; et, à force de faire des incursions sur son territoire, de lui couper les vivres, et d'amener à son parti, parmi ceux qui venaient au secours de la place, les uns par la crainte d'éprouver le sort des Messéniens, les autres par les pertes qu'il leur fit éprouver dans une embuscade, il se rendit maître du questeur et de son argent, et finit par prendre Messine et Bithynicus lui-même, qui capitula sous la condition de partager avec lui le commandement sur le pied de l'égalité. Sextus ne fit pour lors aucun mal à Bithynicus; quant aux Messéniens, il leur enleva leurs armes et leur argent. Après cela, il soumit Syracuse et quelques autres villes, d'où il ramassa un grand nombre de soldats et une flotte puissante; Q. Cornificius aussi lui envoya quelques troupes d'Afrique. Ce fut ainsi que Sextus accrut ses forces.

18. César, jusque-là, n'avait pris aucune attention à Sextus, tant par dédain pour lui que par suite de l'embarras où l'avaient mis les événements; mais, quand la famine eut enlevé à Rome une foule d'habitants et que Sextus eut fait une tentative contre l'Italie, alors il commença à équiper une flotte, et envoya en avant à Rhégium Salvidiénus Rufus avec de nombreuses troupes.

de la combler. — 5. C, D : κάν. — 6. Leuncl. (cf. sa note) préférerait écrire Κόϊντος; il aime mieux aussi *Cornuficius* que *Cornificius*.

7. G : ηὔξωτο. — 8. Suivant Appien, IV, 83, César, dans le principe, méprisait Sextus, ὡς οὐδὲν μέγα διὰ νεότητα καὶ ἀπειρίαν ἐργασόμενον.

9. Cf. Appien, V, 67.

10. D et Bekk. : Σαλουϊδιῆνον.

Ῥήγιον προέπεμψε. Καὶ ὃς μὲν ἐκ τῆς[1] Ἰταλίας τὸν Σέξτον ἀπεώσατο· ἀναχωρήσαντος δὲ αὐτοῦ ἐς τὴν Σικελίαν, δερμάτινα πλοῖα[2], κατὰ τοὺς ἐν τῷ Ὠκεανῷ πλέοντας, ἐκποιῆσαι ἐπεχείρησεν· ἔνδοθεν μὲν ῥάβδοις αὐτὰ κούφαις διαλαμβάνων, ἔξωθεν[3] δὲ βοὸς δέρμα ὠμὸν ἐς ἀσπίδος κυκλοτεροῦς τρόπον περιτείνων. Ὡς δὲ[4] γέλωτά τε ὠφλίσκανε, καὶ κινδυνεύσειν, εἰ πειραθείη αὐτοῖς διὰ τοῦ πορθμοῦ χρήσασθαι, ἐπίστευσεν, ἐκείνων μὲν ἀφεῖτο, τῷ δὲ δὴ ναυτικῷ τῷ κατασκευασθέντι τε καὶ ἐλθόντι ἐπετόλμησε μὲν διαπλεῦσαι, οὐκ ἠδυνήθη δέ. Τό τε γὰρ πλῆθος καὶ τὸ μέγεθος τῶν νεῶν αὐτοῦ πολὺ τῆς τῶν ἐναντίων καὶ[5] ἐμπειρίας καὶ τόλμης ἠλαττώθη. Αὐτόπτης οὖν τῆς ναυμαχίας ὁ Καῖσαρ γενόμενος (κατὰ γὰρ τὴν στρατείαν αὐτοῦ τὴν ἐς τὴν Μακεδονίαν ταῦθ' οὕτως ἐπράχθη[6]), χαλεπῶς ἤνεγκε, καὶ μάλισθ' ὅτι τότε πρῶτον συμβαλὼν ἥττητο. Καὶ διὰ τοῦτο κατὰ μὲν τὸ ἰσχυρὸν οὐκέτι, καίτοι τοῦ πλείονος ναυτικοῦ σωθέντος οἱ, περαιωθῆναι ἐτόλμησε[7]· λάθρα δὲ πολλάκις ἐπιχειρήσας, ὡς πάντως, ἂν τῆς νήσου ἐπιβῇ, πολὺ τῷ πεζῷ κρατήσων, ἔπειθ' ὡς οὐδὲν, ἅτε καὶ ἰσχυρᾶς πανταχοθεν φυλακῆς αὐτοῦ οὔσης[8], ἐπέραινε, τῇ μὲν Σικελίᾳ ἄλλους τινὰς ἐφεδρεύειν προσέταξεν, αὐτὸς δὲ πρός τε τὸν Ἀντώνιον ἐς τὸ Βρεντέσιον

1. Bekker : καὶ ὃς ἐκ μὲν τῆς — 2. Cf. la note 73 de Reimarus.
3. F : διαλαμβάνων καὶ ἔξωθεν.
4. Henri Étienne et les éd. subséq.; E, D, H om.
5. C om. — 6. Contre Brutus et Cassius (cf. XLVII, 55), Dion, comme il le dit, racontant les événements qui se sont passés pendant que les

Celui-ci chassa Sextus de l'Italie, et, après la retraite de l'ennemi en Sicile, essaya de construire, à l'imitation de ceux qui naviguent sur l'Océan, des bateaux de cuir, qu'il soutenait intérieurement par de légères pièces de bois, tendant sur l'extérieur un cuir de bœuf cru, en forme de bouclier sphérique. Mais, ayant fait rire de lui, et croyant qu'il était dangereux d'essayer de s'en servir pour traverser le détroit, il renonça à ces bateaux et affronta le passage avec la flotte, qui était équipée et qui l'avait rejoint, mais il ne put l'effectuer. En effet, le nombre et la dimension de ses vaisseaux le cédaient de beaucoup à l'habileté et à l'audace de ses adversaires. César, qui vit de ses yeux ce combat, la chose s'étant passée à l'époque de son expédition en Macédoine, fut vivement affligé de cet échec, surtout à la suite d'un premier engagement. Aussi n'osa-t-il plus, bien que la majeure partie de sa flotte eût été sauvée, essayer de forcer le passage; et, après avoir fait secrètement plusieurs tentatives, dans l'espoir qu'une fois descendu dans l'île, ses troupes de terre lui assureraient infailliblement une grande supériorité, voyant qu'il n'obtenait aucun résultat à cause des forces qui la couvraient de toutes parts, il confia à d'autres le soin de veiller à la Sicile, pour se rendre lui-même auprès d'Antoine à Brindes,

affaires de Brutus et de Cassius étaient encore prospères. — 7. C, D om.

8. « Verba φυλακῆς αὐτοῦ, dit Reiske, valent *cautione ab eo*. Ergo tota ῥῆσις significat : *quum multa ubique esset Pompeii ab Augusto* [sic, *Cæsare*] *cautio*, id est, quum Pompeius undique Augustum observaret et caveret. »

ἀφίκετο [1], κἀντεῦθεν τῇ τῶν νεῶν βοηθείᾳ τὸν Ἰόνιον διέβαλε.

19. Γενομένου δὲ τούτου, τήν τε νῆσον πᾶσαν ὁ Σέξτος κατέσχε, καὶ τὸν Βιθυνικὸν [2], ὡς καὶ ἐπιβουλεύσαντα αὐτῷ, ἀπέκτεινε, θέας τε ἐπινικίους ἤγαγε, καὶ ναυμαχίαν
R.p.580. τῶν αἰχμαλώτων ἐν τῷ πορθμῷ παρ' αὐτὸ τὸ Ῥήγιον [3], ὥστε καὶ τοὺς ἐναντίους ὁρᾶν, ἐποίησε, πλοιάριά τινα ξύλινα πρὸς [4] ἕτερα βύρσινα, ἐς τὸν τοῦ Ῥούφου κατάγελων [5], συμβαλών. Καὶ μετὰ τοῦτο ναῦς τε [6] πλείους ἐναυπηγήσατο, καὶ τῆς πέριξ θαλάσσης ἐκράτησε, δόξαν τέ τινα καὶ φρόνημα, ὡς καὶ τοῦ Ποσειδῶνος παῖς ὤν [7], ὅτι πάσης ποτὲ ὁ πατὴρ αὐτοῦ τῆς θαλάσσης ἦρξε, προσέθετο, ταῦτα μὲν, ἕως ἔτι τά τε τοῦ Κασσίου καὶ τὰ τοῦ Βρούτου συνειστήκει [8], ἔπραξε· φθαρέντων δὲ ἐκείνων, ἄλλοι τε πρὸς αὐτὸν συγκατέφυγον, καὶ ὁ Στάτιος ὁ Λούκιος [9]. Καὶ αὐτὸν [10] τὰ μὲν πρῶτα ἀσμένως ἐδέξατο (καὶ γὰρ τὴν δύναμιν ἧς ἦρχεν ἐπηγάγετο)· ἔπειτα δὲ καὶ δραστήριον καὶ φρονηματώδη ἰδὼν ὄντα [11] ἀπέκτεινεν, ἔγκλημα αὐτῷ προδοσίας ἐπενεγκών. Κἀκ τούτου τό [12] τε ἐκείνου ναυτικὸν, καὶ τὸ τῶν δούλων τῶν ἐκ τῆς Ἰταλίας ἀφικνουμένων

1 Cf. XLVII, 56. — 2. Le même dont il a été question au ch. 17.
3. H : Ρήγινον. — 4. Dans G, les mots ἐναντίους. . . ξυλινὰ πρὸς sont en marge et d'une autre main.
5. Cf. ch. 17. — 6. E om. — 7. Cf. la note 78 de Reimarus.
8. C : συνιστήκει. — 9. C'est le même L. Statius Murcus dont il a été parlé XLVII, 48. Une médaille (cf. la note 79 de Reimarus) lui donne le titre d'*Imperator*. — 10. C, E, H om. : συγκατέφυγον. . . αὐτόν. Cette

d'où, avec le secours de ses vaisseaux, il traversa la mer Ionienne.

19. Sextus devint par là maître de l'île entière, et fit mourir Bithynicus, sous prétexte qu'il avait conspiré contre lui; il donna des spectacles comme après une victoire et fit livrer par les captifs, sur le détroit, en face même de Rhégium, de manière à être vu de ses adversaires, un combat naval où il mettait aux prises, pour se moquer de Rufus, des bateaux de bois contre des bateaux de cuir. Ensuite, il construisit des vaisseaux en grand nombre, établit sa domination sur tout le littoral, et poussa la présomption et l'orgueil jusqu'à se regarder comme fils de Neptune, parce que son père avait eu autrefois le commandement sur toute l'étendue de la mer. Voilà ce qu'il fit tant que le parti de Cassius et celui de Brutus furent encore debout; eux morts, plusieurs de leurs partisans, entre autres L. Statius, se réfugièrent près de lui. Sextus l'accueillit d'abord avec joie (Statius amenait avec lui le corps qu'il commandait), mais ensuite, voyant en lui un homme d'action et de sentiments élevés, il le fit mourir sous prétexte de trahison. A partir de ce moment, s'étant mis à la tête de la flotte de Statius et d'une multitude d'esclaves qui accouraient d'Italie, il accrut considérablement sa puis-

lacune a été comblée par Gron. d'après A. Xyl. l'avait signalée et avait cherché à y porter remède d'après le récit de Velléius Paterculus et celui d'Appien. C'est ainsi qu'on lit, dit Reimarus, à la marge de l'exemplaire de Turnèbe, συνῆλθον (vel κατέφυγον), καὶ Στάτιος ὁ Μοῦρκος, ὃν τὰ μὲν, κ. τ. λ. Paulmier (cf. p. 346, tom. VII de Sturz) donne une conjecture à peu près semblable.

11. D : ὃν. — 12. C om.

πλῆθος προσλαβὼν[1], πάμπολυ ηὐξήθη[2]· τοσοῦτοι γὰρ δὴ ηὐτομόλουν, ὥστε καὶ τὰς ἀειπαρθένους καθ' ἱερῶν εὔξασθαι, ἐπισχεθῆναι σφῶν τὰς αὐτομολίας[3].

20. Διά τε οὖν ταῦτα, καὶ διὰ τὸ τοὺς φεύγοντας αὐτὸν[4] ὑποδέχεσθαι, τήν τε τοῦ Ἀντωνίου φιλίαν πράττειν, καὶ τῆς Ἰταλίας πολλὰ πορθεῖν, καταλλαγῆναί οἱ ὁ Καῖσαρ ἐπεθύμησε· διαμαρτὼν δὲ τούτου, ἐκείνῳ μὲν Μάρκον Οὐϊψάνιον Ἀγρίππαν πολεμῆσαι ἐκέλευσεν, αὐτὸς δὲ ἐς Γαλατίαν ἀπῆρε. Μαθὼν οὖν τοῦτο ὁ Σέξτος ἐτήρησε τὸν Ἀγρίππαν περὶ τὰ Ἀπολλώνεια ἔχοντα· ἑστρατήγει γὰρ, καὶ ἄλλα τε πολλὰ, ἅτε καὶ πάνυ φίλος ὢν τῷ Καίσαρι, ἐλαμπρύνατο, καὶ τὴν ἱπποδρομίαν ἐπὶ δύο ἡμέρας ἐποίησε, τῇ τε Τροίᾳ καλουμένῃ διὰ τῶν εὐγενῶν παίδων ἐγαυρώθη. Ταῦτ' οὖν αὐτοῦ πράττοντος ἐπεραιώθη τε ἐς τὴν Ἰταλίαν, καὶ ἐνέμεινεν ἐν αὐτῇ λεηλατῶν, μέχρις οὗ ἐκεῖνος ἀφίκετο· τότε γὰρ φρουρὰν ἐν χωρίοις τισὶ καταλιπὼν, ἀνέπλευσεν. Ὁ δὲ δὴ Καῖσαρ τὴν Γαλατίαν πρότερον μὲν
R.p.541. δι' ἑτέρων, ὥσπερ εἴρηται, καταλαβεῖν ἐπεχείρησε· μὴ δυνηθεὶς δὲ διά τε τὸν Καλῆνον καὶ διὰ τοὺς ἄλλους τοὺς τὰ Ἀντωνίου πράττοντας[5], αὐτὸς τότε κατέσχε, τόν τε Καλῆνον τεθνηκότα νόσῳ εὑρὼν, καὶ τὸ στράτευμα αὐτοῦ

1. Robert et Henri Étienne, de même que Xylander, d'après P. Fab. Semest., II, 6, p. 83 : προσλαβόν, se rapportant à ναυτικόν.

2. Robert et Henri Étienne, suivis par Leuncl., mettent la virgule après πάμπολυ. « Sed nimis frigidum est illud ηὐξήθη per se solum, » dit Reimarus.

3. Pline, Hist. Natur., XXVIII 2 : « Vestales nostras hodie credi-

sance. En effet, le nombre des fugitifs était tel que les Vestales, dans les sacrifices, demandaient aux dieux d'arrêter cette désertion.

20. Ce fut pour ces motifs, et aussi parce qu'il accueillait les fugitifs, recherchait l'amitié d'Antoine et ravageait une partie de l'Italie, que César désira se réconcilier avec Sextus; mais, ayant échoué dans cette tentative, il donna ordre à M. Vipsanius Agrippa de lui faire la guerre, et partit lui-même pour la Gaule. Instruit de ce départ, Sextus épia le moment où Agrippa était occupé aux jeux Apollinaires. Agrippa, en effet, était préteur, et, entre autres magnificences qu'il déploya, comme intime ami de César, il célébra pendant deux jours les jeux du cirque, et eut l'honneur de faire donner par les enfants patriciens la cavalcade appelée *Troie*. Pendant ce temps, Sextus passa en Italie, et continua d'y exercer des ravages jusqu'à l'arrivée d'Agrippa; laissant pour lors garnison dans quelques places fortes, il remit à la voile. Quant à César, il avait essayé auparavant, comme il a été dit plus haut, de s'emparer de la Gaule par des lieutenants; quoique n'ayant pu, jusqu'à ce moment, y réussir, à cause de Calénus et des autres partisans d'Antoine, il parvint alors à s'en rendre maître en personne, ayant trouvé Calénus mort de maladie et

mus nondum egressa urbe mancipia fugitiva retinere in loco deprecatione. »

4. A, B, D, F, I et Bekk.; vulg. et C, E, G, K : αὐτῶν. Peut-être y avait-il les deux à la fois.

5. Q. Fufius Calénus était, avec Ventidius (cf. ch. 10), préfet de la Gaule Transalpine.

ἀκονιτὶ προσθέμενος[1]. Κἀν[2] τούτῳ τὸν Λέπιδον ἀγαναχτοῦντα τῇ[3] τῆς ἀρχῆς τῆς ἐπιβαλλούσης αὐτῷ[4] στερήσει ἰδὼν[5], ἐς τὴν Ἀφρικὴν ἔπεμψεν, ἵν' ὡς παρ' ἑαυτοῦ μόνου αὐτὴν, ἀλλ' οὐ καὶ παρὰ τοῦ Ἀντωνίου λαβὼν, οἰκειότερόν οἱ προσφέρηται.

21. Δύο μὲν δὴ ἔθνη τοῖς Ῥωμαίοις[6] ἐν τῇ Λιβύῃ ἐκείνῃ, ὥσπερ εἶπον[7], ἦν· ἦρχον δὲ πρὸ τῆς τῶν τριῶν ἀνδρῶν συνωμοσίας, τοῦ μὲν Νομαδικοῦ Τῖτος Σέξτιος[8], τοῦ δὲ ἑτέρου ὅ τε Κορνουφίκιος καὶ Δέκιμος Λαίλιος[9], ὁ μὲν τὰ τοῦ Ἀντωνίου[10], οἱ[11] δὲ τὰ τοῦ Καίσαρος[12] φρονοῦντες. Καὶ τέως μὲν ὁ Σέξτιος ἀνέμενεν[13], ὡς καὶ ἐκείνων[14] (πολὺ γὰρ πλείω δύναμιν εἶχον) ἐς τὴν ἀρχὴν αὐτοῦ ἐσβαλούντων[15], καὶ παρεσκευάζετο ὡς καὶ ἐνταῦθα αὐτοὺς ἀμυνούμενος. Ἐπεὶ δὲ διέμελλον, κατεφρόνησέ τε αὐτῶν, καὶ προσεπαρθεὶς ὑπό τε βοὸς φθεγξαμένης, ὥς φασιν, ἀνθρωπίνῃ φωνῇ, καὶ κελευσάσης αὐτῷ τῶν προκειμένων ἔχεσθαι, καὶ ἐξ ἐνυπνίου, δι' οὗ ταῦρός τις κατορωρυγμένος ἐν τῇ πόλει Τούκκῃ, παρῃνεκέναι οἱ ἔδοξε τὴν κεφαλὴν αὐτοῦ ἀνελέσθαι[16], καὶ ἐπὶ κάμακος, ὡς καὶ

1. Il est également parlé de cette circonstance dans Appien, V, 54.

2. Leuncl. et les éd. subséq. (de même, A, B, I, K); vulg. et C, D, E, F, G, H : καί. — 3. A, F, G, K om. — 4. C, D : αὐτῇ. — 5. Cf. ch. 1. La Gaule Narbonnaise, dans le premier partage (XLVI, 55), avait été attribuée à Lépidus. — 6. F : ἔθνη ἐν τοῖς Ῥωμαίοις. — 7. Cf. XLIII, 9.

8. Xyl. (cf. sa note) et les éd. subséq. (de même, A, B, I, K); C, D, E, F, G, H : Σέξτιος. — 9. Sturz : « Penzelius delenda censet verba Δέκιμος [C : Δέκιος] Λαίλιος, quod non appareat cur duo præfecti fuerint Africæ propriæ. At ita delendum est etiam τε ante Κορνουφίκιος, et οἱ

s'étant sans peine concilié ses légions. Sur ces entrefaites, voyant Lépidus irrité d'avoir perdu sa part de pouvoir, il l'envoya en Afrique, afin que, recevant cette province de lui seul, sans la participation d'Antoine, ses dispositions à son égard fussent plus bienveillantes.

21. Les Romains, je l'ai dit, avaient deux provinces dans cette partie de la Libye; elles étaient gouvernées, avant le triumvirat, la Numidie par T. Sextius, l'autre par Cornificius et par Décimus Lélius, partisans l'un d'Antoine, les autres de César. Sextius attendait qu'ils fissent une incursion dans son gouvernement, car ils avaient une armée bien plus considérable que la sienne, et il se préparait à les combattre sur son terrain. Comme ils hésitaient, il conçut pour eux du mépris; excité, en outre, par un bœuf qui, dit-on, lui parla en langue humaine et lui ordonna de poursuivre ses projets, et aussi par un songe où il crut entendre un taureau, enfoui dans la ville de Tucca, lui donner le conseil de faire déterrer sa tête et de la faire promener au bout d'une pique autour de son armée comme devant être pour

δὲ. . . φρονοῦντες in ὁ δὲ. . . φρονῶν mutandum. » — 10. D, H : ὁ μὲν κατὰ τοῦ Ἀντωνίου. — 11. C, E, F, G, H : ὁ. — 12. C, D, H : ὁ δὲ (D : οἱ δὲ) κατὰ τοῦ Καίσαρος.

13. A, E : ἀνέμεινεν. — 14. Xyl. et les éd. subséq. (de même, B, C, F); A, D, E, G, I, K : ἔκ τινων.

15. G : ἐσκαλούντων. — 16. Xyl. et Bekk.; vulg. et les mss. : ἀμελεῖσθαι. Robert Étienne croit qu'il faut lire ἀφελέσθαι, bien que, dit-il, Léonicène semble avoir suivi une autre leçon. Leuncl., approuvé par Reim., préfère la correction d'Étienne à celle de Xylander.

ἐκ τούτου νικήσοντι[1], περιφέρειν· οὐκ ἐμέλλησεν, ἄλλως τε καὶ ὅτι τὸν ταῦρον ἐν τῷ χωρίῳ, ἐν ᾧ τὸ ἐνύπνιον εἶναι ἔφη, εὗρεν· ἀλλ' αὐτὸς ἐς τὴν Ἀφρικὴν προενέβαλε[2]. Καὶ τὸ μὲν πρῶτον τό τε Ἀδρυμητὸν, καὶ ἄλλ' ἄττα[3] χωρία, ἀνελπίστοις σφίσι προσπεσὼν, κατέσχεν· ἔπειτα δὲ ἀφυλάκτως δι' αὐτὸ τοῦτ' ἔχων, ἐλοχίσθη[4] τε ὑπὸ τοῦ ταμίου, καὶ πολὺ μέρος τοῦ στρατοῦ ἀποβαλὼν[5], ἐς τὴν Νουμιδίαν ἀνεχώρησε· καὶ, ἔτυχε γὰρ ἄνευ τῆς τοῦ ταύρου κεφαλῆς δυστυχήσας, τήν τε ἧτταν ἐς τοῦτο ἀνέφερε[6], καὶ παρεσκευάζετο ὡς καὶ αὖθις στρατεύσων. Κἀν τούτῳ φθάσαντες οἱ ἐναντίοι ἀντεισέβαλον ἐς τὴν ἀρχὴν αὐτοῦ· καὶ οἱ μὲν
B.p.542. ἄλλοι Κίρταν ἐπολιόρκουν[7], ὁ δὲ δὴ ταμίας ἐπ' ἐκεῖνον σὺν τοῖς ἱππεῦσιν ὥρμησε· καί τισιν ἱππομαχίαις κρατήσας, τὸν συνταμίαν[8] προσεποιήσατο. Πραχθέντων δὲ τούτων, ὁ Σέξτιος νεαλῆ τινα ἐπικουρίαν προσλαβὼν[9] ἀνεκινδύνευσε, καὶ τόν τε[10] ταμίαν ἀντενίκησε, καὶ τὸν Λαίλιον κατατρέχοντα τὴν χώραν ἐς τὸ ἔρυμα κατέκλεισε[11]· τόν τε Κορνουφίκιον ἐπαμυνοῦντα[12] ἀπατήσας[13], ὡς καὶ ἐαλωκότος ἐκείνου, καὶ ἐς ἀθυμίαν ἐμβαλὼν, ἥτ-

1. Leuncl. : νικήσαντι. — 2. L'ancienne province d'Afrique.

3. Bekk.; vulg. : ἀλλὰ ἄττα. — 4. Xyl. et les éd. subséq. (de même, A, B, C, F, G, I, K); D, E, H : ἐλογίσθη. — 5. C, D : ἀπολαβών. Ici s'arrêtent les variantes que M. Gros a recueillies ou fait recueillir dans le ms. D (cf. l'Avertissement en tête de ce volume). A partir de cet endroit je cesse de le citer, ou, si je le cite quelquefois, ce sera d'après Sturz.

6. Reim., Sturz et Bekk., d'après les mss.; vulg. et E : ἀνέφαινε.

7. Appien, IV, 55, raconte que Lélius, lieutenant de Cornificius, mit le siége devant cette ville, mais qu'il le leva quand Sextius eut reçu des renforts.

lui un gage de victoire, il ne balança plus, surtout depuis qu'il eut trouvé le taureau à l'endroit indiqué par le songe, et il fit lui-même une invasion en Afrique. Tout d'abord, il prit Adrumète et quelques autres places qu'il attaqua à l'improviste; puis, à raison même de ce succès, ne se tenant pas sur ses gardes, il tomba dans une embuscade dressée par le questeur, et, après avoir perdu une grande partie de son armée, fit retraite en Numidie. Comme le hasard voulut que ce revers lui arrivât lorsqu'il n'avait pas avec lui la tête du taureau, il attribua sa défaite à cette circonstance, et prépara une nouvelle expédition. Dans l'intervalle, ses adversaires le prévinrent en faisant irruption dans sa province : ils assiégèrent Cirta, tandis que le questeur fondait sur lui avec sa cavalerie, et, après quelques avantages obtenus dans des engagements de cavalerie, amenait le questeur de Sextius à son parti. Ces événements accomplis, Sextius, renforcé par un nouveau secours, tenta une seconde fois la fortune, vainquit à son tour le questeur, et enferma dans ses retranchements Lélius, qui courait la campagne. Quant à Cornificius, qui venait à son secours, l'ayant trompé par la fausse nouvelle de la prise de Lélius, et jeté par là dans le découragement, il le

8. « Quæstorem T. Sextii, ipse Cornificii quæstor, » dit Reimarus.

9. Suivant Appien, il reçut des secours d'Arabion, l'un des petits rois de l'Afrique. Ventidius, lieutenant de Cornificius, tomba dans la première affaire; Lélius se donna lui-même la mort; Roscius se fit égorger par un soldat; enfin Cornificius fut pris et tué par des cavaliers d'Arabion.

10. C om.

11. C om. : καὶ τὸν Λαίλιον. . . κατέκλεισε.

12. F : ἀπαμυνοῦντα.

13. Xyl. et les éd. subséq. (de même, A, B, C, D, I); vulg. et E, F, G, H, K : ἀπαντήσας.

τησε· καὶ αὐτόν τε ἐν τῇ μάχῃ ἀπέκτεινε, καὶ τὸν Λαίλιον, ἐπεξελθόντα ὡς καὶ κατὰ νώτου σφίσι προσπεσούμενον.

22. Πράξας δὲ ταῦτα, τήν τε Ἀφρικὴν κατέσχε· καὶ ἑκατέρου τοῦ ἔθνους ἀδεῶς ἦρχε, μέχρις οὗ ὁ Καῖσαρ ἐκ τῶν συνθηκῶν τῶν πρός τε τὸν Ἀντώνιον καὶ πρός[1] τὸν Λέπιδόν οἱ γενομένων, τὴν ἀρχὴν αὐτῶν λαβών, Γάϊον σφίσι Φουφίκιον Φάγγωνα προσέταξε· τότε γὰρ ἑκὼν δὴ τῶν ἐθνῶν ἐξέστη. Ὡς μέντοι ἥ τε μάχη ἡ κατὰ τὸν Βροῦτον τόν τε Κάσσιον ἐγένετο, καὶ ὁ Καῖσαρ[2] ὅ τε Ἀντώνιος τά τε ἄλλα ἀνεδάσαντο, καὶ τῆς Λιβύης[3] Καῖσαρ μὲν τὴν Νουμιδίαν[4], Ἀντώνιος δὲ τὴν Ἀφρικὴν ἔλαβεν (ὁ γὰρ Λέπιδος ἐν τοῖς τρισὶν ὀνόματι[5] μόνον, ὥσπερ εἶπον[6], ἦρχε, καὶ πολλάκις γε οὐδὲ τοῦτο ἐν τοῖς γράμμασι προσενεγράφετο[7]), ὡς οὖν ταῦτά τε οὕτως ἐγένετο, καὶ ἡ Φουλουΐα τὴν Ἀφρικὴν αὐτῷ παραλαβεῖν ἐκέλευσεν (ἐν γὰρ τῇ Λιβύῃ καὶ τότε ἔτι, πρόφασιν μὲν, διὰ τὸν χειμῶνα, ἔργῳ δὲ, εὖ εἰδὼς ὅτι νεωτερισθήσοιτό τι, ἐνδιέτριψε), τὸν μὲν Φάγγωνα οὐκ ἔπεισε τῆς χώρας ἐκστῆναι, τοὺς δὲ ἐπιχωρίους ἀχθομένους οἱ (ἔν τε γὰρ τῷ μισθοφορικῷ ἐστράτευτο· πολλοὶ γὰρ καὶ τῶν τοιούτων ἐς τὸ βουλευτήριον, ὥσπερ εἴρηταί μοι[8], κατελελέγατο[9], καὶ κακῶς αὐτῶν

1. Bekk.; vulg. om. — 2. G : Καὶ ὁ σαρ, et, en marge, d'une main plus moderne, Καί. — 3. G : Αιχύης. — 4. Cf. ch. 1. — 5. Reiske et Bekker, à cause de τοῦτο, qui suit; vulg. : ἐν τοῖς ὀνόμασι. — 6. Cf. ch. 1.

7. Après la bataille de Philippes, Lépidus tomba dans un tel mépris (cf. ch. 4 et 13) que ses collègues, en tête de leurs édits et des actes

défit et le tua, ainsi que Lélius, qui était sorti de ses lignes dans l'intention de tomber sur les derrières de l'ennemi.

22. A la suite de ces événements, il devint maître de l'Afrique, et gouverna les deux provinces sans être inquiété, jusqu'au moment où César, en ayant pris le gouvernement en vertu de son traité avec Antoine et Lépidus, y préposa C. Fuficius Phangon. Sextius alors sortit des provinces de son plein gré. Cependant, lorsque, après la bataille livrée à Brutus et Cassius, César et Antoine se furent partagé l'empire, et que, dans la Libye, César eut reçu la Numidie et Antoine l'Afrique (Lépidus, ainsi que je l'ai dit, n'avait que le nom de triumvir, et souvent même il n'en était pas fait mention dans les décrets); lors donc que ces événements furent arrivés, et qu'il eut reçu de Fulvie le conseil de s'emparer de l'Afrique (il avait prétexté l'hiver pour prolonger son séjour en Libye; mais le véritable motif était la certitude qu'il s'y passerait quelque chose de nouveau), il ne put, il est vrai, décider Phangon à lui céder la province; mais les habitants étaient fatigués de leur gouverneur (Phangon avait servi en qualité de mercenaire; or, je l'ai dit, beaucoup de gens de cette espèce avaient été introduits dans le sénat; de plus, il les

publics (Appien, IV, 8, nous en a transmis la formule : « M. Lépidus, Marc-Antoine et Octave César, triumvirs, etc. ») ne se faisaient pas scrupule de supprimer son nom. — 8. Cf. XLIII, 47; XLVIII, 33, et aussi LII, 41. — 9. Xyl., Sturz et Bekk.; vulg. : κατελόχατο; Reim. croit l'une et l'autre forme également bonnes.

ἦρχε) προσηταιρίσατο. Γενομένου δὲ τούτου, ὁ Φάγγων ἐς τὴν Νουμιδίαν ἀνεχώρησε, καὶ τούς τε Κιρτησίους[1], καταφρονήσαντας αὐτοῦ πρὸς τὰ παρόντα, κακῶς μετεχειρίσατο, καὶ Ἀραβίωνά τινα, δυναστεύοντα ἐν τοῖς προσοικοῦσι σφίσι βαρβάροις, καὶ πρότερον μὲν τῷ Λαιλίφ συναράμενον, ὕστερον δὲ τῷ Σεξτίῳ προσθέμενον, ἐξέβαλεν ἐκ τῆς ἀρχῆς, ἐπειδὴ οἱ μὴ ἠθέλησε συμμαχῆσαι· καταφυγόντά τε αὐτὸν πρὸς τὸν Σέξτιον ἐξαιτήσας, καὶ μὴ λαβών, ὀργήν τε ἐποιήσατο, καὶ ἐς τὴν Ἀφρικὴν ἐμβαλών, τῆς μὲν χώρας τι ἐκάκωσεν, ἀντιστρατοπεδευσαμένου δὲ αὐτῷ τοῦ Σεξτίου, μάχαις βραχείαις μὲν, πολλαῖς δ' οὖν, ἡττήθη· καὶ διὰ τοῦτ' ἐς τὴν Νουμιδίαν αὖθις ἀνεκομίσθη. Καὶ αὐτῷ ὁ Σέξτιος ἀντεπελθών, ἐλπίδα μὲν ὡς καὶ διὰ βραχέος τῇ τοῦ Ἀραβίωνος μάλιστα ἱππείᾳ νικήσων ἔσχεν, ὑποτοπήσας δέ τι, καὶ δολοφονήσας ἐκεῖνον, οὐδὲν ἔτι
R.p.543. τότε γε ἔπραξεν· οἱ γὰρ ἱππεῖς, χαλεπῶς ἐπὶ τῷ ὀλέθρῳ αὐτοῦ σχόντες, ἐγκατέλιπον αὐτὸν, καὶ οἵ γε πλείους σφῶν τὰ τοῦ Φάγγωνος ἀνθείλοντο.

23. Ἀλλ' ἐν μὲν τῷ παρόντι φιλίαν, ὡς καὶ τῆς προφάσεως σφίσι τοῦ πολέμου ὑπεξῃρημένης, συνέθεντο· μετὰ δὲ ταῦτα τηρήσας ὁ Φάγγων τὸν Σέξτιον ἀδεῶς ὑπὸ τῶν σπονδῶν ἔχοντα, ἐς τὴν Ἀφρικὴν ἐσέβαλε. Κἀνταῦθα συμμίξαντες ἀλλήλοις, τὸ μὲν πρῶτον καὶ ἐνίκησαν ἀμφότεροι καὶ ἡττήθησαν (ὁ μὲν[2] γὰρ τῷ ἱππικῷ τῷ Νομαδικῷ,

1. C: Κορτησίους.

ρομηνίαι τε ἐπ' αὐτῷ ἐγένοντο, καὶ προσέτι καὶ ἡ φυλακὴ τῆς πόλεως τοῖς τρισὶν ἀνδράσι μετὰ τῆς εἰθισμένης προσθήκης, τοῦ μηδὲν ἀπ' αὐτῆς ἀποτριβῆναι, ἐπετράπη. Ἔν τε τῷ[1] πρὸ τούτου ἔτει θηρία τε ἐν τῇ τῶν Ἀπολλωνιείων ἱπποδρομίᾳ ἄνδρες ἐς τὴν ἱππάδα τελοῦντες κατέβαλον[2], καὶ ἡμέρα ἐμβόλιμος παρὰ τὰ καθεστηκότα ἐνεβλήθη, ἵνα μὴ ἡ νουμηνία τοῦ ἐχομένου ἔτους τὴν ἀγορὰν τὴν διὰ
R.p.551. τῶν ἐννέα ἡμερῶν ἀγομένην λάβῃ[3], ὅπερ ἀπὸ τοῦ πάνυ ἀρχαίου σφόδρα ἐφυλάσσετο, καὶ δῆλον ὅτι ἀνθυφῃρέθη αὖθις, ὅπως ὁ χρόνος κατὰ τὰ τῷ Καίσαρι τῷ προτέρῳ δόξαντα συμβῇ. Κάστορί[4] τέ τινι ἥ τε τοῦ Ἀττάλου καὶ ἡ τοῦ Δηϊοτάρου ἀρχὴ ἐν τῇ Γαλατίᾳ τελευτησάντων ἐδόθη· καὶ ὁ νόμος ὁ Φαλκίδιος ὠνομασμένος, πλείστην καὶ νῦν ἔτι[5] ἰσχὺν ἐς τὰς τῶν κλήρων διαδοχὰς, ὥστε τινὰ τὸ τέταρτον τῆς καταλειφθείσης οἱ[6] οὐσίας, ἂν γέ πῃ βαρύνηται, λαβόντα[7], τὸ λοιπὸν ἀφεῖναι, ἔχων, ὑπὸ Ποπλίου[8] Φαλκιδίου δημαρχοῦντος ἐτέθη[9]. Ταῦτα μὲν ἐν τοῖς δύο ἔτεσιν ἐγένετο.

34. Τῷ δ' ἐπιγιγνομένῳ[10], ἐν ᾧ Λούκιός τε Μάρκιος[11] καὶ Γάϊος Σαβῖνος[12] ὑπάτευσαν, τά τε ὑπὸ τῶν τριῶν ἀνδρῶν πραχθέντα, ἀφ' οὗ ἐς τὴν ὀλιγαρχίαν ἐσῆλθον, κῦρος[13] παρὰ τῆς βουλῆς ἔλαβε, καὶ τέλη τινὰ ὑπ' αὐτῶν

1. G om. — 2. Suétone, 43 : « Ad scenicas quoque et gladiatorias operas etiam equitibus romanis usus aliquando est. »

3. Reiske préférerait καταλάβῃ. — 4. Sur ce personnage, cf. la note de Reimarus et l'addition de Sturz. — 5. C : ἔτι καὶ νῦν. — 6. C om.

7. Xiph. : λαμβάνοντα. — 8. H; vulg. : τοῦ Πομπλίου.

casion, et, en outre, la garde de la ville fut remise aux triumvirs, avec l'injonction habituelle de veiller à ce qu'elle n'éprouvât aucun dommage. L'année précédente, aux jeux Apollinaires, des citoyens appartenant à l'ordre équestre avaient abattu dans le cirque des bêtes féroces, et un jour intercalaire avait été inséré, contrairement à l'usage, afin que les calendes de l'année suivante ne tombassent pas en même temps que les nundines, chose que, de toute antiquité, on avait bien soin d'éviter; et il est bien évident qu'il y eut un autre jour de retranché ensuite, pour conformer la supputation du temps aux décrets du premier César. Le gouvernement d'Attale et celui de Déjotarus, morts dans la Galatie, furent donnés à un certain Castor; la loi appelée Falcidia, qui, aujourd'hui encore, a, en matière de succession, une autorité très-grande, et aux termes de laquelle un héritier qui se sent grevé par quelque clause testamentaire, peut, en prenant le quart de ce qui lui est légué, renoncer au reste, fut promulguée par Falcidius alors tribun du peuple. Tels furent les événements de ces deux années.

34. L'année suivante, sous le consulat de L. Marcius et de C. Sabinus, les actes des triumvirs depuis leur entrée au pouvoir furent ratifiés par le sénat; quelques impôts furent en outre établis par eux, parce que les dé- An de Rome 701. L. Marcius et C. Sabinus consuls.

9. Le lecteur trouvera dans la note 161 de Reimarus l'indication des auteurs qui nous ont transmis des renseignements sur cette loi.

10. C : τῷ δὲ ἐπιγιγνομένῳ. — 11. B om.

12. « Alii chronographi, dit Xylander, non L. Marcum, sed L. Porcium Censorinum habent. » C : Σαβεῖνος. — 13. C : χήρος.

προσκατέστη[1], διὰ τὸ τὰ ἀναλώματα πολλῷ πλείω, ἢπερ[2] ἐπὶ τοῦ προτέρου Καίσαρος ἐτέτακτο, γίγνεσθαι. Πάμπολλα γὰρ αὐτοὶ καὶ μάλιστα ἐς τοὺς στρατιώτας δαπανῶντες, ἠσχύνοντο[3] μόνοι[4] παρὰ[5] τὸ καθεστηκὸς ἀναλίσκοντες. Ἀμέλει τὸν πώγωνα ὁ Καῖσαρ τότε πρῶτον ξυράμενος, αὐτός τε μεγάλως ἑώρτασε, καὶ τοῖς ἄλλοις ἅπασι δημοτελῆ ἑορτὴν παρέσχε. Καὶ ὁ μὲν καὶ ἔπειτα ἐπελειοῦτο[6] τὸ γένειον, ὥσπερ οἱ ἄλλοι[7]· ἤδη γὰρ καὶ τῆς Λιουΐας[8] ἐρᾶν ἤρχετο, καὶ διὰ τοῦτο καὶ τὴν Σκριβωνίαν τεκοῦσάν οἱ θυγάτριον ἀπεπέμψατο αὐθημερόν[9]. Τῶν δ' οὖν ἀναλωμάτων πολὺ μειζόνων ἢ πρότερον γιγνομένων, καὶ τῶν προσόδων οὔτ' ἄλλως ἀρκουσῶν, καὶ τότε ἐλαττόνων
R.p. 552. διὰ τὰς στάσεις προσιουσῶν, καινά τινα τέλη ἐσήγαγον[10], ἔς τε τὸ βουλευτήριον πλείστους ὅσους οὐχ ὅτι τῶν συμμάχων, ἢ καὶ στρατιώτας, παῖδάς τε ἀπελευθέρων, ἀλλὰ καὶ δούλους ἐνέγραψαν. Μάξιμον γοῦν τινα ταμιεύσειν μέλλοντα ἐγνώρισέ τε ὁ δεσπότης καὶ ἀπήγαγε[11]. Καὶ τοῦτο[12] μὲν ἀδεὲς ἐγένετο τολμήσαντι[13] τὴν ἀρχὴν αἰτῆσαι· ἕτερος δὲ ἐν τοῖς στρατευομένοις[14] φωραθεὶς[15], κατὰ

1. Leuncl. et C, G, I, K; vulg. et A, B, E, H : προκατέστη.
2. C : ὅπερ. — 3. Reiske propose de lire οὐκ ἠσχύνοντο. B : ἠσχύοντο.
4. Reimarus : « Forte legendum μόνοις, nempe στρατιώταις. »
5. Xyl. : κατὰ, *si præstitutum sumptibus modum.*
6. Peir. : ὅτι Καῖσαρ ἐλειοῦτο, au lieu de καὶ ὁ μὲν καὶ ἔπειτα ἐπελειοῦτο; B : ἐτελειοῦτο. — 7. Peir. om. : ὥσπερ οἱ ἄλλοι.
8. Peiresc : Λιβίας.
9. Cf. Suétone, 62.
10. Appien, V, 67 : Προυτέθη διάγραμμα, εἰσφέρειν ἐπὶ μὲν τοῖς θεράπουσι τοὺς κεκτημένους ὑπὲρ ἑκάστου τὸ ἥμισυ τῶν πέντε καὶ εἴκοσι δραχμῶν

penses s'élevaient bien au-delà de ce qui avait été réglé par le premier César. Bien que prodiguant l'argent, surtout aux soldats, ils avaient honte de se livrer seuls à des dépenses exagérées. C'est ainsi que César, s'étant alors coupé la barbe pour la première fois, célébra lui-même une fête splendide et offrit à tous les citoyens un banquet aux frais de l'État. Depuis, il eut toujours le menton rasé, comme tout le monde; car déjà il commençait à aimer Livie et, pour cette raison, il répudia ce même jour Scribonie, bien qu'elle lui eût donné une fille. Les dépenses donc étaient bien plus considérables qu'auparavant, et les revenus, d'ailleurs insuffisants, allaient en diminuant à cause des guerres civiles; les triumvirs établirent quelques impôts nouveaux et firent entrer au sénat un grand nombre, non-seulement d'alliés ou de soldats et de fils d'affranchis, mais même des esclaves. Ainsi un certain Maximus, au moment où il briguait la questure, fut reconnu et emmené par son maître. Maximus ne fut point puni pour avoir osé demander une charge; mais un autre, surpris dans les rangs des préteurs, fut précipité des rochers du Capitole, après

ὡρισμένων, ἐς τὸν πόλεμον τὸν Κασσίου τε καὶ Βρούτου· ἐσφέρειν δὲ καὶ μοῖραν τοὺς ἐκ διαθήκης τι καρπουμένους. César, Guer. Civ., III, 32, nous apprend que de semblables mesures avaient été précédemment déjà mises à exécution.

11. On sait jusqu'à quel point s'étendait, à Rome, le pouvoir des maîtres à l'égard de leurs esclaves. — 12. Reiske : τούτῳ.

13. C : τολμήσαντα.

14. Ce mot a donné lieu à une controverse pour laquelle je renvoie à la note 170 de Reimarus.

15. C : ἐφωραθείς.

τῶν τοῦ Καπιτωλίου πετρῶν[1] ἐώσθη, προελευθερωθεὶς ἵνα ἀξίωμα ἡ τιμωρία αὐτοῦ λάβῃ.

35. Πρόφασιν δὲ σφίσι τοῦ τῶν βουλευσόντων πλήθους ἡ τοῦ Ἀντωνίου στρατεία[2], ἣν ἐπὶ τοὺς Πάρθους ἡτοιμάζετο, παρέσχεν· ἀφ' οὗπερ καὶ ἀρχὰς ἄλλας τε[3] ἐπὶ πλείω ἔτη, καὶ τὴν τῶν ὑπάτων ἐς ὀκτὼ ὅλα προκατεστήσαντο[4], τοὺς μὲν ἀμειβόμενοι τῶν συναραμένων σφίσι, τοὺς δὲ ὑπαγόμενοι. Ὑπάτους δὲ οὐδὲ δύο ἐτησίους, ὥσπερ εἴθιστο, ἀλλὰ πλείους τότε πρῶτον εὐθὺς ἐν ταῖς ἀρχαιρεσίαις εἵλοντο. Καὶ πρότερον μὲν γὰρ μεθ' ἑτέρους τινὲς μήτ' ἀποθανόντας[5], μήτ' ἐπ' ἀτιμίᾳ, ἢ καὶ ἄλλως[6] πως παυθέντας, ἦρξαν[7]· ἀλλ' ἐκεῖνοι μέν, ὡς που τοῖς ἐς ὅλον τὸν ἐνιαυτὸν χειροτονηθεῖσιν ἔδοξε, κατέστησαν· τότε δὲ ἐνιαύσιος μὲν οὐδεὶς ᾑρέθη, πρὸς δὲ δὴ τὰ τοῦ χρόνου μέρη ἄλλοι καὶ ἄλλοι[8] ἀπεδείχθησαν. Καὶ οἱ μὲν πρῶτοι καὶ τὸ ὄνομα τῆς ὑπατείας κατὰ[9] παντὸς τοῦ ἔτους (ὥσπερ καὶ νῦν γίγνεται) ἔσχον· τοὺς δ' ἑτέρους[10] αὐτοὶ μὲν οἱ ἐν τῇ πόλει τῇ τε ἄλλῃ Ἰταλίᾳ ἐν ἑκάστῳ τῷ τῆς ἀρχῆς αὐτῶν χρόνῳ ὠνόμαζον, ὃ καὶ νῦν ποιεῖται, οἱ δὲ λοιποὶ ἢ τινὰς αὐτῶν ἢ οὐδένας ἤδεσαν, καὶ διὰ
R. p. 553. τοῦτο σμικροτέρους σφᾶς ὑπάτους ἐπεκάλουν[11]. Οἴκοι μὲν δὴ ταῦτ' ἔπραττον.

1. Xiph. : κρημνῶν. — 2. G : στρατίᾳ. — 3. Com. : ἄλλας τε.
4. Pour quatre ans seulement suivant Appien, V, 73.
5. Après ce mot, C ajoute : τό τε πρῶτον εὐθύς.
6. G et Bekk. ; vulg. : μήτε ἄλλως. — 7. Xyl., Reim., Sturz et Bekk. ; vulg. et A, B, E, H : εἶρξαν ; G, K : εἴρξαν. — 8. C, H : ἄλλοις ἄλλοι.

avoir été préalablement affranchi, afin de donner de la dignité à son supplice.

35. Le prétexte des triumvirs pour créer tant de sénateurs fut l'expédition qu'Antoine préparait contre les Parthes; ce fut encore pour ce motif qu'ils nommèrent à l'avance aux autres charges pour un temps plus long et au consulat pour huit années entières, récompensant ainsi les uns de leur concours et se conciliant la faveur des autres. Il y eut non pas deux consuls annuels, selon la coutume, mais un plus grand nombre élus alors pour la première fois immédiatement dans les comices. Auparavant, quelques citoyens avaient bien exercé le consulat à la suite d'autres qui n'étaient pas morts, qui n'avaient pas été notés d'infamie ou destitués pour quelque autre raison; mais ceux-ci furent nommés suivant le caprice de ceux qui avaient été désignés pour l'année entière, et personne ne fut plus depuis lors consul pour une année; puis d'autres encore furent créés pour les diverses portions de l'année. Les premiers entrés en charge avaient, et cela se pratique encore aujourd'hui, toute l'année le nom de consuls, et c'étaient eux qui, soit à Rome, soit dans l'Italie, à chaque époque de leur magistrature, nommaient les autres consuls, ce qui s'observe encore aujourd'hui; le reste des citoyens ne connaissait que quelques-uns de ces derniers ou même n'en connaissait aucun, et, pour cette raison, les appelait les petits consuls. Voilà ce qui se fit alors à Rome.

9. A, B, I, K et Bekk.; vulg. et les autres mss : διά.

10. G : τοὺς δὲ ἑτέρους.

11. Dion traduit l'expression *consules minores* dont il note ici l'origine. Reiske voudrait lire ὑπαχάλουν, parce que, dit-il, « verbum hoc plerumque usurpatur in nominibus probrosis et ad cavillandum compositis. »

36. Τῷ δὲ δὴ Σέξτῳ πρῶτον μὲν διὰ τῶν ἑταίρων, καὶ ὅπως καὶ ἐφ' οἷς καταλλαγήσοιντο, συνέβησαν· ἔπειτα δὲ καὶ αὐτοὶ πρὸς Μισηνῷ ἐς λόγους ἦλθον. Εἱστήκεσαν[1] δὲ, οἱ μὲν ἐν τῇ ἠπείρῳ, ὁ δὲ ἐν χώματί τινι ἐν τῇ θαλάσσῃ, ἐπ' αὐτὸ τοῦτο περιῤῥύτῳ, οὐ πόῤῥω σφῶν πρὸς ἀσφάλειαν αὐτῷ[2] πεποιημένῳ. Καὶ παρῆν πᾶς[3] μὲν ὁ τούτου ναυτικὸς, πᾶς δὲ ὁ ἐκείνων πεζικὸς ὄχλος· οὐχ ἁπλῶς, ἀλλ' οἱ μὲν ἐπὶ τῆς γῆς, οἱ δὲ ἐπὶ τῶν νεῶν, ἐξωπλισμένοι παρετετάχατο· ὥστε καὶ ἀπ' αὐτοῦ τούτου δῆλον πᾶσι γενέσθαι, ὅτι ἔκ τε τοῦ φόβου τῆς παρασκευῆς σφῶν, καὶ ἐξ ἀνάγκης, οἱ μὲν διὰ τὸν δῆμον, ὁ δὲ διὰ τοὺς συνόντας οἱ ἐσπείσατο[4]. Αἱ δὲ δὴ συνθῆκαι ἐπὶ τοῖσδε ἐγένοντο· τούς τε αὐτομολήσαντας τῶν δούλων ἐλευθέρους εἶναι, καὶ τοὺς ἐκπεσόντας, πλὴν τῶν σφαγέων, κατελθεῖν· τούτους γὰρ δῆθεν ὑπεξείλοντο, ἐπεὶ τῷ γε[5] ἔργῳ καὶ ἐκείνων τινὲς κατιέναι ἔμελλον· καὶ γὰρ αὐτὸς ὁ Σέξτος εἷς ἐξ αὐτῶν γεγονέναι ἐδόκει. Ἀλλ' ἐγράφη γε[6], τοὺς ἄλλους πλὴν τούτων πάντας, ἐπί τε ἀδείᾳ καὶ ἐπὶ τῷ τετάρτῳ τῆς δημευθείσης σφῶν οὐσίας ἐπανελθεῖν· καὶ ἐκείνων μέν τισι καὶ δημαρχίας καὶ στρατηγίας, ἱερωσύνας τε εὐθὺς[7] δοθῆναι· αὐτὸν δὲ τὸν Σέξτον, ὕπατόν τε αἱρεθῆναι, καὶ οἰωνιστὴν ἀποδειχθῆναι[8], ἔκ τε τῆς οὐσίας τῆς πατρῴας χιλίας καὶ ἑπτακοσίας[9] καὶ πεντήκοντα μυριάδας δραχμῶν

1. Sturz et Bekk.; vulg. : εἱστήκεισαν.

2. Odd. : αὐτοῦ. Reim. approuverait cette correction, si, avec la vulgate, on laissait subsister après ce mot la virgule qu'il supprime afin de faire retomber αὐτῷ sur πεποιημένῳ. — 3. Com.

36. César et Antoine traitèrent avec Sextus, d'abord par l'intermédiaire de leurs amis, des clauses et conditions de la paix; ensuite ils entrèrent eux-mêmes en conférences avec lui près de Misène. César et Antoine se tenaient à terre et Sextus au milieu de la mer sur une digue baignée à dessein de tous côtés par les flots et construite à peu de distance de ses adversaires, afin d'assurer sa sûreté. A cette conférence assistait toute la flotte de l'un, toutes les troupes des autres; ce n'étaient pas des spectateurs indifférents; ils étaient, ceux-ci à terre, ceux-là sur leurs vaisseaux, rangés en armes vis-à-vis les uns des autres, en sorte qu'il fut évident pour tous que la crainte de leurs préparatifs réciproques et la contrainte imposée, aux triumvirs par le peuple, à Sextus par ceux qui étaient avec lui, les forçait à traiter. Les conditions furent la liberté pour les esclaves fugitifs et le rappel des exilés, à l'exception des meurtriers. Ces derniers furent exceptés, sans doute parce que quelques-uns d'entre eux étaient vraiment sur le point de rentrer, Sextus lui-même semblant être un des meurtriers. On décida que les autres citoyens, ceux-là seuls exceptés, pourraient revenir sans être inquiétés et recevraient le quart de leurs biens confisqués; que quelques-uns même obtiendraient sur-le-champ des charges de tribuns du peuple et de préteurs, ainsi que des sacerdoces; que Sextus lui-même serait élu consul et nommé augure, qu'il recouvrerait sur la fortune paternelle dix-sept millions cinq cent mille drachmes, aurait pour cinq ans le gou-

4. B, G : ἐσπείσατο. — 5. G, Reiske, Sturz et Bekk.; vulg. : τε.
6. C, Hom. — 7. Zon., Reim., Sturz et Bekk.; vulg. et B, C, E, K : αὐτοῖς.
8. Appien, V, 72 : ὑπατεῦσαι δ' ἀπόντα ὅι' ὅτου κρίνοι τῶν φίλων, καὶ τῆς μεγίστης ἱερωσύνης ἐς τοὺς ἱερέας ἐγγραφῆναι. — 9. Zon. : πενταχοσίας.

κομίσασθαι, καὶ Σικελίας, καὶ Σαρδοῦς, τῆς τε Ἀχαΐας ἐπὶ πέντε ἔτη ἄρξαι[1]· μήτ' αὐτομόλους δεχόμενον, μήτε ναῦς ἐπικτώμενον, μήτε τινὰ φρούρια ἐν τῇ Ἰταλίᾳ ἔχοντα,
R. p. 554. ἀλλὰ τήν τε εἰρήνην αὐτῇ τὴν ἐκ τῆς θαλάσσης πρυτανεύοντα, καὶ σῖτον τοῖς ἐν τῇ πόλει[2] τακτὸν[3] πέμποντα. Τὸν δὲ δὴ χρόνον αὐτῷ τοῦτον προσέγραψαν, ὅτι καὶ αὐτοὶ πρόσκαιρον δή τινα τὴν ἐξουσίαν, ἀλλ' οὐκ ἀΐδιον ἔχειν[4] δοκεῖν ἤθελον.

37. Ταῦτα μὲν[5] οὖν[6] συνθέμενοι καὶ συγγραψάμενοι, τά τε γραμματεῖα ταῖς ἱερείαις ταῖς ἀειπαρθένοις παρακατέθεντο, καὶ μετὰ τοῦτο δεξιάς τε σφίσιν ἔδοσαν, καὶ ἐφίλησαν ἀλλήλους. Γενομένου δὲ τούτου, πολλὴ καὶ ἄπλετος βοὴ καὶ ἐκ τῆς ἠπείρου ἅμα καὶ ἐκ τῶν νεῶν ἠγέρθη. Πολλοὶ μὲν γὰρ στρατιῶται[7], πολλοὶ δὲ καὶ ἰδιῶται παρόντες, ἀθρόον καὶ ἐξαπιναίως, ἅτε καὶ τῷ πολέμῳ δεινῶς ἀχθόμενοι, καὶ τῆς εἰρήνης ἰσχυρῶς ἐπιθυμοῦντες, ἐξέκραγον[8]· ὥστε καὶ τὰ ὄρη συνηχῆσαι, κἀκ τούτου καὶ φρίκην σφίσι καὶ ἔκπληξιν μεγάλην ἐγγενέσθαι· καὶ πολλοὺς μὲν ὑπ' αὐτῶν τούτων ἐκθανεῖν, πολλοὺς δὲ συμπατηθέντας[9] ἢ καὶ ἀποπνιγέντας ἀπολέσθαι. Οἵ τε γὰρ ἐν τοῖς σκάφεσιν ὄντες οὐκ ἀνέμειναν τῇ γῇ αὐτῇ προσελθεῖν, ἀλλ' ἐξεπήδων ἐς

1. Appien, V, 72, ajoute Cyrnos (la Corse). — 2. C om. : ἐκ τῆς θαλάσσης... πόλει. — 3. C : ἐκτακτόν.

4. H om. — 5. Bekk.; vulg. : τε.

6. Correction de Robert Étienne et de Xyl., adoptée par les éd. subséq.; E : οὐ. — 7. Leuncl. et les édit. subséq.; vulg. et C, E, H : πολλοὶ μὲν στρατιῶται γάρ.

8. Gron., d'après A, Reim, Sturz et Bekk.; Xiphil. donne, à peu de

vernement de la Sicile, de la Sardaigne et de l'Achaïe, à la condition de ne recevoir plus les esclaves fugitifs, de ne point se procurer de nouveaux vaisseaux, de n'avoir aucune garnison en Italie, d'assurer la paix maritime et d'envoyer à Rome une quantité de blé déterminée. Ils lui fixèrent ce terme de cinq ans, parce qu'ils voulaient paraître ne posséder eux-mêmes qu'une puissance temporaire et non une puissance perpétuelle.

37. Ces conditions arrêtées et rédigées par écrit, ils en déposèrent l'acte entre les mains des Vestales; après quoi ils se donnèrent la main et s'embrassèrent mutuellement. Alors une clameur immense et éclatante s'éleva de la terre et des vaisseaux tout à la fois. Beaucoup de soldats, en effet, et aussi beaucoup de citoyens qui étaient présents, dans leur ennui extrême de la guerre et leur vif désir de la paix, poussèrent subitement tous ensemble un cri tel que l'écho des montagnes en retentit; ce qui occasionna un grand frisson et un grand saisissement à la suite desquels plusieurs expirèrent à l'instant, plusieurs autres périrent foulés aux pieds ou étouffés. Ceux, en effet, qui étaient dans des barques n'attendirent pas qu'elles eussent abordé à terre, ils sautaient dans la mer, pendant que les autres s'élan-

chose près, la même leçon; vulg. : ἀθρόον (Xyl. et Leuncl. : ἀθρόοι sans nécessité) καὶ ἀχθόμενοι, καὶ τῆς εἰρήνης ἐπιθυμοῦντες; ἰσχυρῶς ἐξαπιναίως, ἅτε καὶ πολέμῳ δεινῶς ἔχοντες, ἐξέκραγον; H : ἀθρόον καὶ ἀχθόμενοι, avec une lacune; dans G, les mots ἐξαπιναίως... δεινῶς sont en marge et d'une autre main.

9. Bekk.; vulg. : καὶ συμπατηθέντας; Sturz indique cette conjonction comme omise dans A; je ne trouve rien dans mes notes.

τὴν θάλασσαν, καὶ οἱ ἕτεροι ἐς αὐτὸν τὸν[1] βυθὸν ἐπεσέβαινον. Κἀν τούτῳ ἠσπάζοντό τε ἀλλήλους ἅμα νηχόμενοι, καὶ περιέβαλλον[2] κολυμβῶντες· ὥστε ποικίλην μὲν αὐτῶν θέαν, ποικίλην δὲ καὶ ἀκοὴν συμβῆναι. Οἱ μὲν γὰρ τούς τε συγγενεῖς καὶ τοὺς ἑταίρους ζῶντας[3] εἰδότες[4], καὶ τότε παρόντας ὁρῶντες, ἁπλήστῳ τῇ ἡδονῇ ἐχρῶντο· οἱ δὲ ἀπολωλέναι τε σφᾶς πρότερον νομίζοντες, καὶ τότε παρὰ δόξαν θεωροῦντες, ἄποροί τε ἐπὶ πολὺ ἐγίγνοντο, καὶ ἀφασίᾳ συνείχοντο, ἀπιστοῦντές τε ἅμα τῇ ὄψει, καὶ εὐχόμενοι ἀληθῆ ταύτην εἶναι· καὶ οὐ πρότερόν γε[5] ἐγνώριζον σφᾶς, πρὶν τά τε ὀνόματα αὐτῶν ἀνακαλέσαι, καὶ φθεγγομένων τι ἀκοῦσαι. Οὕτω δὲ ἔχαιρον μὲν, ὡς καὶ ἀναβιωσκομένων σφῶν· ἀναγκαζόμενοι δὲ ἀθρόως ἥδεσθαι, οὐκ ἀδακρυτὶ διῆγον. Καὶ ἕτεροι, ἀγνοοῦντές τε τοὺς φιλτάτους ἀπολωλότας, καὶ ζῆν παρεῖναί τε αὐτοὺς ἡγούμενοι, ἐζήτουν τε σφᾶς ἅμα περιφοιτῶντες, καὶ πάντα τὸν προστυγχάνοντα περὶ αὐτῶν ἐπηρώτων· καὶ τέως μὲν οὐδὲν ἀκριβὲς ἐμάνθανον, μαινομένοις τε ἐῴκεσαν, καὶ ἐν ἀπόρῳ καθειστήκεσαν, ἐλπίζοντές τε ἅμα αὐτοὺς εὑρήσειν, καὶ φοβούμενοι μὴ τεθνήκασι, καὶ μήτ' ἀπογνῶναι πρὸς τὴν ἐπιθυμίαν, μήτ' ἀπαλγῆσαι[7] πρὸς τὴν ἐλπίδα δυνά-
R.p.555. μενοι· μαθόντες δὲ τὴν ἀλήθειαν, τάς τε τρίχας ἐσπαράττοντο[8], καὶ τὰς ἐσθῆτας περιερρήγνυντο, ὀνομαστί τε

1. Xyl. et Leuncl., d'après Xiph.; de même les édit. subséq.; vulg. : τὸ; H : τὸν κυνόν.
2. Coisl. : περιέβαλον. — 3. Reiske : καὶ ζῶντας.

çaient dans les flots. Là, ils se saluaient mutuellement tout en nageant et s'embrassaient en s'avançant dans l'eau, en sorte que c'était un spectacle et des bruits divers. Ceux-ci, sachant que leurs parents et leurs amis étaient vivants et les voyant alors présents devant eux, se laissaient aller à des transports sans borne; ceux-là, qui auparavant les avaient crus morts et les revoyaient alors contre toute attente, demeuraient longtemps incertains et restaient sans pouvoir parler, n'en croyant pas leurs yeux, et, en même temps, priant les dieux que cette vision devînt une réalité; ils ne les reconnaissaient que lorsqu'ils les avaient appelés par leurs noms et qu'ils les avaient entendus parler. Leur joie était aussi grande que si ces parents et ces amis fussent revenus à la vie, et, comme leur allégresse était naturellement à son comble, l'entrevue ne se passait pas sans larmes. D'autres, dans l'ignorance de la mort d'amis qui leur étaient chers, croyant qu'ils étaient encore en vie et qu'ils étaient présents, les cherchaient çà et là et demandaient de leurs nouvelles à tous ceux qu'ils rencontraient; tant qu'ils ne savaient rien de certain, ils ressemblaient à des insensés et demeuraient indécis, espérant les trouver et craignant en même temps qu'ils ne fussent morts, sans que leur désir leur permît de se décourager ou leur espérance de se laisser aller à la douleur. Quand une fois ils savaient la vérité, ils s'arrachaient les cheveux et déchiraient leurs vêtements, appelaient les morts par leurs

4. Reiske, Sturz et Bekk.; de même G; vulg. et les autres mss. : ἰδόντες.
5. Com. — 6. K : ἀκριβῶς. — 7. Leuncl. et H : ἀπαλλαγῆσαι.
8. Reiske et Bekk. (G : ἐπράττοντο); vulg. : ἐσπάραττον.

αὐτοὺς ἀνεκάλουν, ὡς καὶ ἐπακοῦσαί τε[1] δυναμένους, καὶ πένθος, ὡς καὶ τότε τελευτώντων, αὐτοῦ τέ που κειμένων σφῶν, ἐποιοῦντο. Καὶ, εἴγε τισὶ[2] μηδὲν αὐτοῖς τοιοῦτο παρῆν, ἀλλ' ἐπί γε τοῖς ἄλλων παθήμασιν ἐταράττοντο· ἢ γὰρ χαίροντί τινι συνήδοντο, ἢ πενθοῦντι συνελυποῦντο, καὶ οὕτως, εἰ[3] καὶ ἔξω οἰκείου πάθους ἦσαν, ὅμως οὐκ ἠδύναντο[4] διὰ τὴν πρὸς τοὺς ἄλλους ὁμιλίαν ἡσυχάζειν. Καὶ ἐκ τούτου οὔτε κόρον, οὔτ' αἰσχύνην, ἅτε καὶ τοῖς αὐτοῖς συμφερόμενοι[5], ἐλάμβανον· ἀλλὰ τήν τε ἡμέραν ὅλην καὶ τῆς νυκτὸς τὰ πλείω ἐς ταῦτα κατανάλωσαν.

38. Μετὰ δὲ δὴ[6] ταῦθ' οἵ τε ἄλλοι ὑπεδέχοντο ἀλλήλους, καὶ ἀνθειστίων[7] καὶ αὐτοὶ ἐκεῖνοι, πρότερος μὲν ὁ Σέξτος ἐν τῇ νηΐ, ἔπειτα δὲ καὶ ὁ[8] Καῖσαρ ὅ τε Ἀντώνιος ἐν τῇ ἠπείρῳ· τοσοῦτο γὰρ ὁ Σέξτος[9] τῇ δυνάμει σφῶν περιῆν, ὥστε μὴ πρότερον αὐτὸν ἐς τὴν ἤπειρον ἐκβῆναι, πρὶν ἐκείνους ἐς τὴν ναῦν ἐσελθεῖν[10]. Καὶ τοῦτο μέν τοι ποιήσας, δυνηθείς τ' ἂν ἀμφοτέρους ἐν τῷ σκάφει, σὺν ὀλίγοις παρόντας, ὥσπερ που καὶ ὁ Μηνᾶς αὐτῷ συνεβούλευε, φονεῦσαι, οὐκ ἠθέλησεν· ἀλλὰ καίπερ πρὸς τὸν Ἀντώνιον, ἐπειδὴ τὴν οἰκίαν αὐτοῦ τὴν πατρῴαν τὴν ἐν ταῖς Καρίναις κατεῖχε (τόπος γάρ τις τῆς τῶν[11] Ῥωμαίων πό-

1. Reiske : ἐπακοῦσαι ἔτι. — 2. C : εἴ τι γε. — 3. C : οὕτω εἰ.
4. B, Sturz et Bekk.; vulg. : ἐδύνατο. — 5 Reimarus (*Addenda*) : « Intellige παθήμασι, nisi hoc etiam addendum est. » — 6. H et Bekk.; vulg. om. — 7. Correction de Robert Étienne (confirmée par B, C, G, K), adoptée par les édit. subséq.; vulg. et A, E, H, I : ἀνταυθειστίων.
8. Coislin om. : καὶ ὁ.

noms comme s'ils eussent pu être entendus d'eux, et les pleuraient comme s'ils ne venaient que de mourir et étaient ensevelis près d'eux. Ceux qui n'avaient aucune émotion personnelle de ce genre ne laissaient pas néanmoins de se troubler de celle des autres; ou bien ils se réjouissaient de l'allégresse de quelqu'un ou bien ils s'affligeaient de sa douleur; en sorte que, bien qu'étant en dehors de toute émotion domestique, ils ne pouvaient, à cause de leurs rapports avec les autres, demeurer impassibles. Aussi, emportés tous par les mêmes sentiments, ils ne connaissaient ni satiété ni honte, et le jour tout entier, avec la plus grande partie de la nuit, se consuma dans ces démonstrations.

38. Ensuite les autres citoyens se reçurent mutuellement et les chefs eux-mêmes se donnèrent des festins; Sextus le premier sur son vaisseau, puis César et Antoine à terre. Sextus, en effet, avait sur eux par sa flotte une supériorité telle qu'il ne descendit à terre qu'après que César et Antoine furent venus à son bord. Malgré cette réserve et bien que, les tenant tous les deux en son pouvoir avec une suite peu nombreuse sur son vaisseau, il pût les faire périr, ainsi que Ménas lui en donnait le conseil, il ne voulut pas y consentir; loin de là, content d'avoir décoché contre Antoine qui s'était emparé de la maison de son père dans les Carènes (c'est le nom d'un

9. Gron., d'après A, et les édit. subséq.; vulg. et C, E et H om. : ἐν τῇ νηΐ.... γὰρ ὁ Σέξτος, sans indication de lacune, excepté dans H. Cependant ce passage, jusqu'à ἠπείρῳ se lit, presque textuellement tel qu'il est ici, dans Xiphilin et dans Zonaras.

10. H : ἐπελθεῖν.

11. H, Sturz et Bekk.; vulg. om.

λεως οὕτω καλούμενός ἐστιν), ἀποσκώψας τρόπον τινὰ ἥδιστον (ταῖς γὰρ τροπίσι ταῖς[1] τῶν νεῶν τῆς αὐτῆς ὀνομασίας οὔσης, « ἐν ταῖς Καρίναις αὐτοὺς ἐστιᾷν » ἔφη), ὅμως οὐδὲν ὡς καὶ μνησικακῶν σφίσιν[2] ἔπραξεν· ἀλλὰ τῇ τε ὑστεραίᾳ ἀνθειστιάθη, καὶ τὴν θυγατέρα Μάρκῳ Μαρκέλλῳ τῷ[3] τοῦ Καίσαρος ἀδελφιδῷ[4] ἐγγύησεν[5]. Οὗτος[6] μὲν οὖν[7] ὁ πόλεμος ἀνεβέβλητο.

39. Τὰ δὲ δὴ τοῦ Λαβιήνου τῶν τε Πάρθων, ὧδε διεπολεμήθη. Ὁ Ἀντώνιος, αὐτὸς μὲν ἐς τὴν[8] Ἑλλάδα ἀπὸ τῆς Ἰταλίας ἐπανελθὼν[9], ἐνταῦθα[10] ἐπὶ πλεῖστον ἐνεχρόνισε, τάς τε ἐπιθυμίας ἅμα ἀποπιμπλὰς, καὶ τὰς πόλεις κακῶν, ἵνα ὅτι[11] ἀσθενέσταται τῷ Σέξτῳ παραδοθῶσι. Καὶ ἄλλα τε ἐν τούτῳ πολλὰ[12] ἔξω τῶν πατρίων ἐξεδιητήθη, καὶ Διόνυσον ἑαυτὸν[13] νέον αὐτός τε ἐκάλει, καὶ ὑπὸ τῶν ἄλλων
B.p.556. ὀνομάζεσθαι ἠξίου[14]· ἐπειδή τε[15] οἱ Ἀθηναῖοι πρός τε τοῦτο καὶ πρὸς τὰ ἄλλα τὴν Ἀθηνᾶν αὐτῷ κατηγγύησαν, δέχεσθαί τε τὸν γάμον ἔφη, καὶ προῖκα μυριάδας ἑκατὸν παρ' αὐτῶν ἐξέπραξεν. Αὐτὸς[16] μὲν οὖν περὶ ταῦτα εἶχε, τὸν δὲ δὴ Ὀυεντίδιον τὸν Πούπλιον ἐς τὴν Ἀσίαν προὔπεμψε. Καὶ ὃς ἦλθέ τε ἐπὶ τὸν Λαβιῆνον, πρὶν ἔκπυστος γενέσθαι, καὶ καταπλήξας αὐτὸν τῷ τε αἰφνιδίῳ τῆς ἐφό-

1. A, I et Bekk.; vulg. om. — 2. G et Bekk.; vulg. om.
3. Omis par Henri Etienne dans son édit. de Xiph., donné par Coislin.
4. Coislin : ἀδελφῷ. — 5. Bekk ; vulg. : ἐνηγγύησεν.
6. Reimarus : « Scribendum οὕτως, Leunclavius. Sane οὕτω habet Zonaras. Sed bellum hoc opponitur Parthico et οὗτος habet Xiphilinus. »
7. H om.

des quartiers de Rome) un trait fort plaisant (le mot de carène étant également le nom de la quille d'un vaisseau, il lui dit « qu'il leur donnait un banquet dans les Carènes »), il ne fit rien qui témoignât son ressentiment contre eux, et, le lendemain, il se laissa traiter à son tour et fiança sa fille à M. Marcellus, neveu de César. De ce côté la guerre fut donc ajournée.

39. Quant à la guerre de Labiénus et des Parthes, voici comment elle se termina. Antoine, étant retourné d'Italie en Grèce, y séjourna longtemps, se livrant à tous les désordres et ravageant les villes, afin de les remettre à Sextus aussi faibles qu'il pouvait. Entre autres actes contraires aux usages de la patrie, qu'il commit alors, il se donna lui-même le nom de nouveau Dionysos, et prétendit se faire appeler ainsi par les autres; les Athéniens lui ayant, pour cette raison et pour d'autres encore, fiancé Minerve, il répondit qu'il acceptait la main de la déesse, et exigea d'eux un million de drachmes pour dot. Or donc, tandis qu'il était ainsi occupé, il envoya en avant P. Ventidius en Asie. Celui-ci atteignit Labiénus avant qu'il fût instruit de sa marche, et, l'ayant frappé de terreur par l'imprévu de son arri-

8. Peir. : ὅτι ὁ Ἀντώνιος ἐς τήν. — 9. Peir. : ἐλθών.

10. Peir. om. — 11. G et Peiresc : ἵν' ὅτι. — 12. Peir. : ἄλλα καὶ πολλὰ ἐν τούτῳ. — 13. Coislin : αὐτόν.

14. Cf., L, 5; Sénèque, Suas., I; Velléius Paterc., II, 82, et Plutarque.

15. Peir., Coislin et Sylb. : δέ; E et Henri Etienne (petite édit. de Xiph.) : ἐπειδὴ καί. — 16. Cf. Sénèque, Suas., I; Peir. : ἐξέπραξε αὐτός.

δου, καὶ τοῖς στρατεύμασιν (ἄνευ γὰρ τῶν Πάρθων, μετὰ τῶν αὐτόθεν[1] στρατιωτῶν μόνων ἦν[2]), ἐκεῖθέν τε μηδὲ ἐς χεῖράς οἱ ὑπομείναντα ἐλθεῖν[3] ἐξέωσε, καὶ φεύγοντα ἐς τὴν Συρίαν ἐπεδίωξε[4], τὸ κουφότατον τοῦ στρατοῦ λαβών. Καὶ αὐτὸν πρὸς τῷ Ταύρῳ καταλαβὼν, οὐκέτι περαιτέρω προχωρῆσαι εἴασεν, ἀλλ' ἐνταῦθα ἐπὶ πλείους ἡμέρας καταστρατοπεδευσάμενοι ἡσύχαζον· Λαβιῆνος μὲν γὰρ τοὺς Πάρθους, Ὀυεντίδιος δὲ τοὺς ὁπλίτας ἀνέμεινεν.

40. Ὡς οὖν καὶ οὗτοι ἐν ταῖς αὐταῖς ἅμα ἀμφότεροι ἡμέραις ἦλθον, Ὀυεντίδιος μὲν δέει τῆς ἵππου τῶν βαρβάρων ἐν τῷ μετεώρῳ, οὗπερ ηὐλίζετο, κατέμεινεν· οἱ δὲ δὴ Πάρθοι ἔκ τε τοῦ πλήθους σφῶν, καὶ ἐκ τοῦ προνενικηκέναι ποτὲ, καταφρονήσαντες, πρός τε τὸν γηλοφον ἅμα τῇ ἕῳ, πρὶν καὶ τῷ Λαβιήνῳ συμμίξαι[5], προσῆλασαν, καὶ ὡς οὐδεὶς σφίσιν ἀντεπεξήει, καὶ πρὸς τὸ ὄρθιον αὐτὸ προσέβαλον[6]. Καὶ αὐτοὺς ἐνταῦθα ἤδη ὄντας οἱ Ῥωμαῖοι ἐπιδραμόντες, ῥᾳδίως πρὸς τὸ κάταντες ἐτρέψαντο. Καὶ σφῶν πολλοὶ μὲν ἐν χερσὶν ἀπέθανον, τὸ δὲ δὴ πλεῖον ἐν τῇ ἀναστροφῇ περὶ ἀλλήλοις, οἱ μὲν ἤδη τετραμμένοι, οἱ δὲ ἔτι[7] προσιόντες, ἐσφάλησαν· οἵ τε περιλειφθέντες, οὐ πρὸς τὸν Λαβιῆνον, ἀλλ' ἐς Κιλικίαν ἔφυγον. Ὁ οὖν Ὀυεντίδιος ἐπεδίωξε μὲν αὐτοὺς μέχρι τοῦ στρατοπέδου, ἰδὼν δὲ

1. H : αὐτόθι. — 2. Dion reprend la suite de sa narration sur les affaires des Parthes, récit qu'il a interrompu au ch. 26.

3. Bekk.; vulg. : εὐθύς; Leuncl. est d'avis ou de substituer ἐλθεῖν à

vée et par ses légions (Labiénus, isolé des Parthes, n'avait avec lui que les soldats ramassés dans le pays), il le chassa de cette contrée sans qu'il eût osé en venir aux mains avec lui, et le poursuivit, à la tête de ses troupes légères, jusqu'en Syrie où il se dirigeait dans sa fuite. L'ayant joint au pied du Taurus, il l'empêcha dès lors d'avancer plus loin; puis, tous les deux ayant posé là leur camp vis-à-vis l'un de l'autre, ils restèrent plusieurs jours tranquilles, Labiénus attendant les Parthes, et Ventidius ses légions.

40. Quand donc ces renforts furent arrivés à la fois de part et d'autre, le même jour, Ventidius, par crainte de la cavalerie des Barbares, resta sur les hauteurs où il était campé; mais les Parthes, le méprisant, tant à cause de leur nombre que du souvenir de leur première victoire, s'avancèrent, au point du jour, vers la colline avant d'opérer leur jonction avec Labiénus, et, comme personne ne s'offrait à leur rencontre, ils s'avancèrent vers le sommet jusque sur l'escarpement. Arrivés là, une charge des Romains les mit aisément en fuite sur le versant. Beaucoup périrent sur-le-champ; le plus grand nombre fut écrasé dans la retraite, en tombant les uns sur les autres, ceux-ci ayant déjà le dos tourné, ceux-là montant encore. Quant à ceux qui échappèrent, ils s'enfuirent non pas vers Labiénus, mais en Cilicie. Ventidius les poursuivit jusqu'à leur camp,

εὐθύς, ou d'écrire : ὑπομείναντα ἐλθεῖν, εὐθὺς ἐξέωσε. Sturz adopte ce dernier parti, mais en mettant ἐλθεῖν entre crochets. — 4. H : ὑπεδίωξε.
5. H : μίξαι. — 6. G : προσέλαβον. — 7. B : ὅτι.

ἐνταῦθα τὸν Λαβιῆνον, ἐπέσχε[1]. Καὶ ὃς παρετάξατο μὲν ὡς καὶ ἐς χεῖρας αὐτῷ ἦξων, αἰσθόμενος δὲ τοὺς στρατιώτας ἀθύμως διὰ τὴν τῶν βαρβάρων φυγὴν ἔχοντας, οὔτε τότε ἐθάρσησέν οἱ ἀντᾶραι, καὶ τῆς νυκτὸς ἀποδράναι ποι[2] ἐπεχείρησε. Προγνοὺς οὖν τοῦτο ἐξ αὐτομόλων ὁ Οὐεντίδιος, πολλοὺς μὲν ἐν τῇ ἀποχωρήσει ἐνεδρεύσας ἔκτεινε, πάντας δὲ τοὺς λοιποὺς ἐγκαταλειR.p.557. φθέντας ὑπὸ τοῦ Λαβιήνου παρεστήσατο. Καὶ ἐκεῖνος δὲ τότε μὲν τὴν ἐσθῆτα μετεκδὺς διέφυγε, καὶ χρόνον τινὰ ἐν τῇ Κιλικίᾳ διέλαθεν· ὕστερον δὲ ὑπὸ Δημητρίου ἑάλω· οὗτος γὰρ ἐξελεύθερός[3] τε τοῦ Καίσαρος τοῦ προτέρου ὢν[4], καὶ τότε τῇ Κύπρῳ πρὸς τοῦ Ἀντωνίου προστεταγμένος, ἀνεζήτησέ τε αὐτὸν, μαθὼν ὅτι κρύπτοιτο, καὶ συνέλαβε.

41. Μετὰ δὲ δὴ τοῦτο ὁ Οὐεντίδιος τήν τε Κιλικίαν ἐκομίσατο[5], καὶ αὐτὸς μὲν ταύτην καθίστατο, Πουπήδιον[6] δὲ δὴ[7] Σίλωνα μεθ' ἱππέων πρὸς τὸν Ἀμανὸν προὔπεμψε. Τοῦτο δὲ τὸ ὄρος ἔν τε τῇ μεθορίᾳ τῆς τε Κιλικίας καὶ τῆς Συρίας ἐστὶ, καὶ στενοπορίαν δή τινα τοσαύτην[8] ἔχει, ὥστε καὶ πύλας ποτὲ ἐν αὐτῇ μετὰ τείχους ἐνοικοδομηθῆναι, καὶ τὸ χωρίον ἀπ' αὐτῶν ἐπονομασθῆναι. Οὐ μέντοι καὶ[9] κατασχεῖν αὐτὸ ὁ Σίλων ἠδυνήθη, ἀλλὰ καὶ ἐκινδύνευσεν ὑπὸ Φαρναπάτου[10], ὑπάρχου τε τοῦ Πακόρου

1. Vulg. et E, H : ὑπέσχε; Oddey avait déjà conjecturé qu'il fallait lire ἐπέσχε; cette leçon est confirmée par les autres mss. — 2. C : πη.
3. A, G et Bekk.; vulg. : γὰρ καὶ ἐξελεύθερος.
4. A, G et Bekk.; vulg. : τε ὢν τοῦ Καίσαρος τοῦ προτέρου.
5. Reiske : ἀνεκομίσατο, *recuperavit*.

où, à la vue de Labiénus, il s'arrêta. Celui-ci se mit en ligne, comme pour engager le combat; mais, sentant ses soldats découragés par la fuite des Barbares, il n'osa pas résister et résolut de s'enfuir la nuit. Ventidius, instruit de son projet par des transfuges, lui tua un grand nombre de soldats dans une embuscade pendant sa marche; quant au reste, qui avait été abandonné par Labiénus, il les fit passer dans ses rangs. Labiénus s'enfuit en changeant d'habit, et demeura quelque temps caché en Cilicie; mais, dans la suite, il fut pris par Démétrius. Démétrius, en effet, qui était un affranchi du premier César et qui avait été alors établi gouverneur de Cypre, le fit rechercher, quand il sut qu'il se cachait, et le fit prisonnier.

41. Ventidius s'empara ensuite de la Cilicie, y rétablit l'ordre, et détacha en avant Pompédius Silon vers l'Amanus avec un corps de cavalerie. Cette montagne est située sur les confins de la Cilicie et de la Syrie; elle renferme un défilé tellement étroit en certains passages qu'on y construisit autrefois des portes avec une muraille, et que ces portes ont donné leur nom à cet endroit. Silon ne put s'en emparer; il faillit même tomber sous les coups de Pharnapates, lieutenant de

6. Correction de H. de Valois, adoptée par les édit. subséq.; vulg. et C, E, G, H : Οὐπήδιον. — 7. B et Bekk.; vulg. om.

8. G, K : τοσαύτην δή τινα. — 9. C om. — 10. Xyl., Henri Etienne, Leuncl., Reim, Sturz et Bekk.; vulg. et E : Φραναπάτου et plus bas Φραναπάτην; H : Φραναπάτου, mais plus bas Φαρναπάτην.

ὄντος καὶ τὴν δίοδον φυλάττοντος, ἀπολέσθαι. Κἂν ἔπαθε τοῦτο, εἰ μὴ ὁ Οὐεντίδιος μαχομένῳ αὐτῷ κατὰ τύχην ἐπιστὰς ἐπήμυνεν· ἀνελπίστοις τε γὰρ ἅμα καὶ ἐλάττοσι τοῖς βαρβάροις σφῶν οὖσι προσπεσὼν, τόν τε Φαρναπάτην καὶ ἄλλους πολλοὺς ἐφόνευσε· καὶ οὕτω[1] τήν τε Συρίαν ἐκλειφθεῖσαν ὑπὸ τῶν Πάρθων ἀμαχὶ, πλὴν τῶν Ἀραδίων, παρέλαβε, καὶ μετὰ τοῦτο τὴν Παλαιστίνην, Ἀντίγονον τὸν βασιλεύοντα αὐτῆς ἐκφοβήσας[2], ἀπόνως κατέσχεν[3]. Καὶ ὁ μὲν ταῦτά τε[4] διῆγε, καὶ χρήματα πολλὰ μὲν παρὰ τῶν ἄλλων ὡς ἑκάστων, πολλὰ δὲ καὶ παρὰ τοῦ Ἀντιγόνου, τοῦ τε Ἀντιόχου, καὶ Μάλχου τοῦ Ναβαταίου[5], ὅτι τῷ Πακόρῳ συνήραντο, ἐσέπραξε. Καὶ αὐτὸς μὲν οὐδὲν ἐπ' αὐτοῖς παρὰ τῆς βουλῆς, ἅτε οὐκ αὐτοκράτωρ ὤν, ἀλλ' ἑτέρῳ ὑποστρατηγῶν, εὕρετο· ὁ δὲ Ἀντώνιος ἐπαίνους τε καὶ[6] ἱερομηνίας ἔλαβεν. Οἵ γε μὴν Ἀράδιοι, δείσαντες, μὴ καὶ δίκην ὧν ἐς τὸν Ἀντώνιον ἐτετολμήκεσαν ὑπόσχωσιν, ἐκείνῳ μὲν, καίτοι χρόνον ὑπ' αὐτοῦ πολιορκηθέντες[7], οὐ[8] προσεχώρησαν, ὕστερον δὲ ὑπ' ἄλλων μόλις ποτὲ ἑάλωσαν[9]. Κατὰ δὲ τὸν[10] αὐτὸν τοῦτον χρόνον ἐγένετο μὲν καὶ Ἰλλυριοῖς[11] τοῖς Παρθινοῖς κίνησις· καὶ αὐτὴν ὁ Πωλίων μάχαις[12] ἔπαυσεν.

1. Xyl., Zon., Reim., Sturz et Bekk.; vulg. : οὔτε.
2. Cf. Josèphe, Antiq. Jud., XIV, 26, et Guerre des Juifs, I, 12.
3. A et Bekk.; G : ἀπώνος (sic) κατέσχε; vulg. : κατέσχεν ἀπόνως.
4. C om. — 5. C : Ναναταίου. — 6. B, H, K : καὶ ἐπαίνους καί.
7. H : πολιορκισθέντες. — 8. Henri Étienne et Leuncl., d'après Xyl.; de même les éditions subséquentes. — 9. La ville fut prise (XLIX, 22) par Sossius, lieutenant d'Antoine. — 10. A, B, I, Sturz et Bekk.; vulg. om.

Pacorus, qui gardait le passage. Ce malheur lui serait certainement arrivé, si Ventidius, survenant par hasard pendant le combat, ne l'eût dégagé. Fondant sur les Barbares, qui ne s'y attendaient pas et qui étaient inférieurs en nombre, il recouvra sans combat la Syrie, que les Parthes venaient d'évacuer, à l'exception d'Aradus, et ensuite s'empara sans peine de la Palestine, dont il effraya le roi Antigone. Telles furent les opérations de Ventidius; il leva de fortes contributions sur tous séparément, et principalement sur Antigone, Antiochus et Malchus le Nabatéen, qui avaient pris le parti de Pacorus. Ventidius n'obtint du sénat, pour ces exploits, aucune récompense, parce qu'il ne commandait pas en chef et qu'il n'était que le lieutenant d'un autre; ce fut Antoine qui eut les éloges et l'honneur des supplications. Les Aradiens, craignant d'être punis de ce qu'ils avaient fait contre Antoine, ne se rendirent pas à Ventidius, malgré un siége d'une certaine longueur, et ce ne fut que plus tard que d'autres généraux parvinrent, et encore avec peine, à s'emparer de la ville. Dans ce même temps, il y eut en Illyrie et chez les Parthiniens un mouvement que Pollion comprima par plusieurs combats.

11. Heringa (Observations critiques, ch. II, p. 20), approuvé par Reiske et par Reimarus dans sa Table et dans ses *Addenda;* de même Sturz (cf. la note pp. 648 et 649, tome II de son édit.) et Bekk.; vulg. et les mss. : Ἐπιδαυρίοις, que Paulmier corrige : ἐνιαύσιος, *qui annum unum tantum duravit.* — 12. Reiske croit qu'après μάχαις il manque τισὶ κρατήσας. Cette addition est inutile; s'il fallait ajouter quelque chose, je préférerais lire : μάχαις πέντε ἔπαυσε; l'ε' (cinq) ayant pu disparaître devant ἔπαυσεν.

B.p.338. 42. Ἐγένετο[1] δὲ καὶ ἐν Ἰβηρίᾳ Κερητανῶν[2]· καὶ αὐτοὺς ὁ Καλουῖνος[3] κατεστρέψατο, προκατορθώσας τέ τι καὶ προδυστυχήσας διὰ τοῦ ὑποστρατήγου, λοχισθέντος τε ὑπὸ τῶν βαρβάρων καὶ ἐγκαταλειφθέντος[4] ὑπὸ τῶν στρατιωτῶν. Καὶ οὐ πρότερόν γε ἐπεχείρησε τοῖς πολεμίοις, πρὶν ἐκείνους τιμωρήσασθαι· συγκαλέσας γὰρ αὐτοὺς ὡς καὶ ἐπ' ἄλλο τι, τῷ λοιπῷ στρατῷ περιέσχε· καὶ δύο τε ἑκατονταρχίας ἐδεκάτευσε, καὶ ἑκατοντάρχους συχνοὺς, ἄλλους τε καὶ τὸν ἐν τῷ πρώτῳ πίλῳ καλουμένῳ στρατευόμενον, ἐκόλασε[5]. Ταῦτα δὲ ποιήσας, ὥστε καὶ ὄνομα κατὰ τὸν Κράσσον τὸν Μάρκον ἐπὶ τῇ τοῦ στρατοῦ δικαιώσει λαβεῖν[6], πρός τε τοὺς ἐναντίους ὥρμησε, καὶ οὐ χαλεπῶς αὐτοὺς κατειργάσατο. Τυχών τε τῶν ἐπινικίων, καίτοι τῆς Ἰβηρίας τῷ Καίσαρι προστεταγμένης (πρὸς γὰρ τὰς τῶν κρατούντων βουλήσεις, καὶ αἱ τιμαὶ τοῖς ὑποστρατηγοῦσι σφίσιν ἐγίγνοντο), τό τε χρυσίον τὸ παρὰ τῶν πόλεων ἐς αὐτὰ εἰωθὸς δίδοσθαι, ἐκ μόνων τῶν Ἰβηρικῶν ἔλαβε, καὶ ἀπ' αὐτοῦ τὸ μέν τι[7] ἐς τὴν ἑορτὴν ἀνάλωσε, τὸ δὲ δὴ πλεῖον ἐς τὸ βασίλειον[8]. Κατακαυθὲν γὰρ αὐτὸ ἀνῳκοδόμησε καὶ καθιέρωσεν, ἄλλοις

1. A partir du mot Ἐγένετο, qui commence le ch. 42, jusqu'après μετὰ τοῦ Καίσαρος, vers le milieu du ch. 44, il y a une lacune dans B; cette lacune existe également dans A, où la feuille a été coupée.

2. Sturz et Bekk.; vulg. : Κερητάνων. — 3. C, E, G, H, I : Καλουνῆνος.

4. G, K : ἐγκαταληφθέντος. — 5. Velléius Paterc., II, 78 : « Calvinus Domitius, quum ex consulatu obtineret Hispaniam, gravissimi comparandique antiquis exempli auctor fuit : quippe primi pili centurionem, nomine Vibilium, ob turpem ex acie fugam, fusti percussit. »

42. Il y eut aussi des mouvements en Espagne, chez les Cérétains. Calvinus soumit ce peuple, après une alternative de succès et de revers dans la personne de son lieutenant tombé dans une embuscade des Barbares et abandonné par ses troupes. Calvinus n'attaqua l'ennemi qu'après avoir puni ses soldats. Les ayant convoqués, comme pour un motif étranger, il les fit envelopper par le reste de son armée, décima deux centuries et punit un grand nombre de centurions; entre autres, celui qu'on appelle primipilaire. Après cet acte de sévérité, qui, à cause de la punition infligée à son armée, lui valut un nom pareil à M. Crassus, il marcha sur l'ennemi et le vainquit sans peine. Ayant obtenu le triomphe, bien que le gouvernement de l'Espagne appartînt à César (sur l'avis du chef, on accordait cet honneur même à ceux qui commandaient sous ses ordres), il n'accepta de l'or que les villes ont coutume de donner dans ces circonstances que celui des villes d'Espagne, et il en dépensa une certaine quantité pour la fête, et la plus grande partie pour la Régia. Cet édifice avait été la proie des flammes; il le rebâtit et en fit la dédicace, le décorant, entre autres magnifi-

6. Au rapport de Plutarque, Crassus, dans son expédition contre Spartacus, décima les cinq cents premiers soldats qui avaient donné le signal de la fuite. C'était un supplice rigoureux et infamant que Crassus remettait en vigueur après une longue interruption. — 7. H, I, C : τοι.

8. La Régia. Ce nom fut donné à la maison du Roi des sacrifices, maison publique où demeura aussi le Pontife Maxime jusqu'à ce qu'Auguste prit cette dignité. Il vient de ce que, depuis Numa, les rois avaient été Pontifes Maximes.

τέ τισι λαμπρῶς κοσμήσας, καὶ εἰκόσιν ἃς παρὰ τοῦ Καίσαρος, ὡς καὶ ἀποδώσων, ἠτήσατο. Καὶ αὐτὰς ἀπαιτηθεὶς ὕστερον οὐκ ἀπέδωκεν, εὐτραπελίᾳ χρησάμενος· ὡς γὰρ οὐκ ἔχων ἱκανοὺς ὑπηρέτας, « Πέμψον τινάς, ἔφη, καὶ ἆρον αὐτάς[1]· » καὶ οὕτως ἐκεῖνος ὀκνήσας τὴν ἱεροσυλίαν, ἀνακεῖσθαι σφᾶς εἴασε. Ταῦτα μὲν οὖν ἐν τῷ χρόνῳ τούτῳ ἐγένετο.

R.p.559. 43. Ἐπὶ δ' Ἀππίου τε Κλαυδίου καὶ Γαΐου Νωρβανοῦ ὑπάτων, οἷς πρώτοις δύο ἑκατέροις ταμίαι συνεγένοντο[2], τό τε πλῆθος πρὸς τοὺς τελώνας βαρύτατα σφίσιν ἐγκειμένους ἐστασίασε[3], καὶ αὐτοῖς τε ἐκείνοις καὶ τοῖς ὑπηρέταις τοῖς τε στρατιώταις τοῖς συνεισπράσσουσι σφίσι τὰ χρήματα, ἐς χεῖρας ἦεσαν, καὶ στρατηγοὶ ἑπτὰ καὶ[4] ἑξήκοντα ἄλλοι ἐπ' ἄλλοις ἀποδειχθέντες ἦρξαν[5]. Ταμιεῦσαί τέ τις ἐν παισὶν αἱρεθείς, ἔπειτα τῆς ὑστεραίας ἐς ἐφήβους ἐσῆλθε, καὶ ἕτερος ἐς τὸ βουλευτικὸν ἐσγραφεὶς μονομαχῆσαι ἠθέλησε· καὶ ἐκεῖνός τε[6] ἐκωλύθη τοῦτο ποιῆσαι, καὶ προσαπηγορεύθη[7] μήτε βουλευτὴν[8] μονομαχεῖν, μήτε δοῦλον ῥαβδουχεῖν, μήτε τὰς καύσεις τῶν νεκρῶν ἐντὸς πεντεκαίδεκα ἀπὸ τῆς πόλεως σταδίων γίγνεσθαι. Πολλὰ μὲν δὴ καὶ πρὸ[9] ἐκείνου τοῦ χρόνου τερατώδη συννενέχθη (ἄλλα

1. Coislin : αὐτούς; — 2. Cf. la note 214, tome V de l'édit. de Sturz.
3. Xyl., d'après Zonaras, et les édit. subséq.; E : ἐστίασε. — 4. C om. : ἑπτὰ καί.
5. Le nombre ordinaire des préteurs n'était pas supérieur à dix (XLII, 51); César en créa quatorze (XLIII, 49), et bientôt après seize (XLIII, 51).

cences, de statues qu'il emprunta à César, comme s'il eût eu l'intention de les lui rendre. Mais lorsque, dans la suite, César les lui réclama, il usa d'un trait d'esprit pour ne pas les rendre; il lui répondit, comme s'il n'eût pas eu assez d'esclaves : « Envoie les prendre. » De sorte que César, craignant de commettre un sacrilége, laissa consacrer ses statues. Voilà ce qui se passa à cette époque.

43. Sous le consulat d'Appius Claudius et de C. Norbanus, qui les premiers eurent, chacun séparément, deux questeurs, le peuple se souleva contre les publicains qui l'accablaient de leurs exactions, et en vint aux mains avec eux et leurs ministres, ainsi qu'avec les soldats qui les appuyaient dans leur perception; soixante-sept préteurs, nommés à la suite les uns des autres, exercèrent cette magistrature. Un enfant élu questeur entra le lendemain dans la classe des adolescents; un autre, porté sur la liste du sénat, voulut se faire gladiateur; on l'en empêcha, et on défendit à tout membre du sénat de se faire gladiateur, à tout esclave d'être licteur; on interdit aussi de brûler les morts à moins de quinze stades de la ville. Il était arrivé, avant cette époque, bien des prodiges, entre autres, une source d'huile qui

An de Rome 716. Ap. Claudius et C. Norbanus consuls.

Quant aux changements fréquents de magistrats à cette époque, Dion (XLVIII, 53) les range parmi les prodiges.

6. Bekk.; vulg. : γε — 7. H : προσαγορεύθη.

8. Correction de Robert Étienne, adoptée par les édit. subséq. en place de βουλευτήν, qui est dans E. — 9. K : πρός.

τε γὰρ, καὶ ὅτι[1] ἔλαιόν τι παρὰ τῷ Τιβέριδι ἀνέβλυσε[2]), πολλὰ δὲ καὶ τότε. Ἥ τε γὰρ σκηνὴ ἡ τοῦ Ῥωμύλου ἐξ ἱερουργίας τινὸς, ἣν οἱ ποντίφικες ἐν αὐτῇ ἐπεποιήκεσαν, ἐκαύθη· καὶ Ἀρετῆς ἄγαλμα πρὸ πυλῶν τινῶν ἑστὼς, ἔπεσεν[3] ἐπὶ στόμα· κάτοχοί τέ τινες ἐκ τῆς τῶν θεῶν μητρὸς[4] γενόμενοι, ὀργίζεσθαι σφίσι τὴν θεὰν ἔλεγον[5]. Καὶ ἀνεγνώσθη μὲν ἐπὶ τούτῳ τὰ Σιβύλλεια ἔπη· ὡς δὲ καὶ ἐκείνων ταὐτά[6] τε εἰπόντων[7], καὶ τὸ ἄγαλμα ἐπί τε τὴν θάλασσαν καταχθῆναι[8], καὶ τῷ ὕδατι αὐτῆς καθαρθῆναι προσταξάντων, ἡ θεὸς πλεῖστόν τε ὅσον ἀπὸ τῆς γῆς ἐς τὸν βυθὸν ἐχώρησε, καὶ ἐν αὐτῷ ἐνεχρόνισε, καὶ μόλις ὀψέ ποτε ἀνεκομίσθη· φόβος αὖ[9] καὶ ἐκ τούτου οὐ σμικρὸς τοὺς Ῥωμαίους ἔλαβεν, οὐδ' ἀνεθάρσησαν, πρὶν φοίνικας τέσσαρας περί τε τὸν νεὼν αὐτῆς καὶ ἐν τῇ ἀγορᾷ ἀναφῦναι. Ταῦτά τε οὖν τότε ἐγένετο, καὶ ὁ Καῖσαρ τὴν Λιουΐαν ἔγημεν[10].

Π. p. 300. 44. Ἦν δὲ θυγάτηρ[11] μὲν Λιουΐου Δρούσου, ὃς ἔν τε τοῖς ἐκτεθεῖσιν ἐν τῷ λευκώματι ἐγεγόνει, καὶ ἑαυτὸν μετὰ τὴν ἐν τῇ[12] Μακεδονίᾳ ἧτταν κατεχρήσατο· γυνὴ δὲ τοῦ Νέρωνος, μεθ' οὗ συνδιέφυγεν, ὥσπερ εἴρηται[13]· καὶ ἐκύει γε ἐξ αὐτοῦ μῆνα ἕκτον. Δισταζόντος[14] οὖν[15] τοῦ Καίσαρος,

1. G, I om. — 2. G : ἀνέκλυσε. — 3. Sturz et Bekk.; vulg. : ἐνέπεσεν; Reiske : συνέπεσεν.
4. G : ἐκ τῆς μητρὸς τῶν θεῶν. — 5. G : ἔφασαν.
6. Vulg. et F; H : ταῦτα. — 7. G : εἰπόντος.
8. Sur la coutume de laver les statues de Pallas, de Rhéa et autres, cf. Spanheim sur Callimaque, Bains de Pallas. Il faut seulement remarquer

avait jailli sur les bords du Tibre; il y en eut alors beaucoup encore. La cabane de Romulus, à la suite d'un sacrifice que les pontifes y avaient célébré, fut consumée par le feu; une statue de la Vertu, placée devant une certaine porte, tomba sur la face; quelques prêtres, transportés de fureur par la mère des dieux, dirent que la déesse était irritée contre le peuple. Dans cette conjoncture, on lut les livres Sibyllins; comme ils disaient la même chose et prescrivaient de descendre la statue à la mer et de l'y purifier dans ses eaux, la déesse s'avança jusque dans la haute mer aussi loin que possible de la terre, y resta longtemps, et ce fut avec peine que, le soir enfin, on la ramena. Une grande frayeur s'empara des Romains, par suite de ce nouveau prodige, et ils ne reprirent courage qu'à la vue de quatre palmes qui avaient poussé autour du temple de la déesse et dans le Forum. Voilà les choses qui se passèrent, et, de plus, César épousa Livie.

44. Livie était fille de Livius Drusus, qui fut mis sur la liste des proscrits et se donna la mort après la défaite de Macédoine; femme de Néron, qu'elle accompagna dans sa fuite, ainsi qu'il a été dit, elle était grosse de ses œuvres de six mois. Comme César, incertain, de-

que les eaux de la mer avaient une vertu plus grande que celles des fleuves.

9. Leuncl., en marge, approuvé par Sturz : οὖν.

10. Cf. Velléius Paterc., II, 94, et Aurélius Victor, Epitome, ch. 4.

11. G : Ἦν μὲν δὲ θυγατήρ. — 12. G et Bekk.; vulg. om.

13. Cf. ch. 14. — 14. C : διχάζοντος. — 15. G : γοῦν.

καὶ πυθομένου τῶν ποντιφίκων, εἰ οἱ ὅσιον ἐν γαστρὶ ἔχουσαν αὐτὴν ἀγαγέσθαι εἴη[1], ἀπεκρίναντο· ὅτι εἰ μὲν ἐν ἀμφιβόλῳ τὸ κύημα ἦν[2], ἀναβληθῆναι τὸν γάμον ἐχρῆν· ὁμολογουμένου δὲ αὐτοῦ, οὐδὲν κωλύει[3] ἤδη αὐτὸν γενέσθαι· τάχα μέν που καὶ ὄντως ἐν τοῖς πατρίοις τοῦτο εὑρόντες, πάντως δ' ἄν, εἰ καὶ μὴ εὗρον αὐτό, εἰπόντες. Ἐξέδωκε δὲ αὐτὴν αὐτὸς ὁ ἀνὴρ, ὥσπερ τις πατήρ[4]. Καί τι καὶ τοιοῦτον ἐν τῇ ἑστιάσει σφῶν συνηνέχθη· παιδίον τι τῶν ψιθύρων, οἷα αἱ γυναῖκες γυμνὰ ὡς πλήθει ἀθύρουσαι τρέφουσιν[5], ἰδὸν χωρὶς μὲν[6] τὴν Λιουΐαν μετὰ τοῦ Καίσαρος[7], χωρὶς δὲ τὸν Νέρωνα μεθ' ἑτέρου τινὸς κατακείμενον, προσῆλθέ τε αὐτῇ, καὶ ἔφη, « Τί ποιεῖς ἐνταῦθα, κυρία; ὁ γὰρ ἀνήρ σου (δείξας αὐτὸν) ἐκεῖ κατάκειται[8]. » Ταῦτα μὲν οὖν οὕτως ἐπράχθη. Συνοικοῦσα δὲ ἤδη[9] ἡ γυνὴ τῷ Καίσαρι, τίκτει Κλαύδιον Δροῦσον Νέρωνα. Καὶ αὐτὸν ὁ Καῖσαρ καὶ[10] ἀνείλετο, καὶ τῷ πατρὶ ἔπεμψεν, αὐτὸ[11] τοῦτο ἐς τὰ ὑπομνήματα ἐγγράψας, ὅτι « Καῖσαρ τὸ γεννηθὲν Λιουΐᾳ τῇ ἑαυτοῦ γυναικὶ παιδίον

1. Il appartenait aux pontifes de prononcer sur les causes qui pouvaient empêcher un mariage.

2. Tacite, Ann., I, 10, nous donne le vrai sens de ce passage : « Abducta Neroni uxor, et consulti per ludibrium pontifices, an concepto, necdum edito partu, rite nuberet. »

3. Leuncl., en marge : κωλύειν.

4. « Despondente Tib. Nerone; cui ante nupta fuerat, » dit Velléius Paterc., II, 94, « ... cupidine formæ, aufert marito, incertum an invitam. »

5. Suétone, Auguste, 83 : « Animi laxandi causa..... ludebat cum pueris minutis, quos facie et garrulitate amabiles undique conquirebat, præcipue Mauros et Syrios. Nam pumilos, atque distortos, et omnes gene-

21. Ἐνταῦθα δὲ ἤδη αὐτῷ ὄντι ὁ Ἀντώνιος ἐξαίφνης ἐπιστὰς, οὐ μόνον οὐχ ἥσθη, ἀλλὰ καὶ ἐφθόνησεν, ὅτι

1. B : μᾶλλον. — 2. G : Κομμαχγήνην, corrigé d'une autre main.
3. Bekk. ; vulg. : γιγνόμενα.
4. Le passage ici entre parenthèse se lit ainsi dans Peiresc. : Ὅτι ὁ τῶν Πάρθων ἡγούμενος Πάκορος ἐν τοῖς μάλιστα τῶν πώποτε βασιλευσάντων ἐπὶ δικαιοσύνῃ καὶ πραότητι διαλάμπων ἠγαπᾶτο.
5. Florus, IV, 9 : « Mox circumlato ejus per urbes, quæ desciverant,

troublés par cette attaque imprévue et s'embarrassant les uns les autres, ils n'en furent pas moins défaits par les légions et surtout par les frondeurs, qui, les atteignant de loin de coups sans nombre, les incommodaient fort. Pacorus, étant tombé dans cette déroute, leur occasionna la plus grande perte; car, aussitôt qu'ils s'aperçurent de la mort de leur chef, quelques-uns d'entre eux soutinrent la lutte pour défendre son corps; eux tués, tout le reste plia. Les uns, voulant passer le pont pour s'enfuir dans leurs foyers, n'y réussirent pas et périrent, arrêtés dans leur route par les Romains; les autres se réfugièrent près d'Antiochus dans la Commagène. Quant aux parties hautes de la Syrie qui attendaient l'issue de cette guerre (Pacorus, à cause de sa justice et de sa douceur, y était entouré d'amour autant que jamais roi le fut), il les soumit sans peine en faisant porter la tête du roi par les villes; ensuite il marcha contre Antiochus sous prétexte qu'il n'avait pas livré ses suppliants, mais, en réalité, à cause de ses grandes richesses.

21. Il en était là quand Antoine, survenant tout à coup, non-seulement, au lieu de lui témoigner de la sa-

capite, Syria sine bello recepta. » — 6. Correction de Wesseling, confirmée par K, suivie par Sturz et Bekk.; Reimarus (*Addenda*) et Reiske préfèrent également cette leçon à la vulgate οἰκέτας. Il s'agit, en effet, des Parthes qui s'étaient, comme nous venons de le voir, réfugiés auprès d'Antiochus dans la Commagène.

7. C : τῇ δὲ ἀληθείᾳ.

R. p.585. ἔδοξέ τι καθ' ἑαυτὸν ἠνδραγαθῆσθαι[1]· καὶ διὰ τοῦτο καὶ τῆς ἀρχῆς αὐτὸν ἔπαυσε, καὶ ἐς οὐδὲν ἔτι οὔτ' αὐτίκα οὔθ' ὕστερον αὐτῷ ἐχρήσατο, καίτοι καὶ ἱερομηνίας ἐπ' ἀμφοτέροις τοῖς ἔργοις καὶ ἐπινίκια δι' αὐτὸν λαβών. Οἵ γε μὴν ἐν τῷ ἄστει Ῥωμαῖοι ἐψηφίσαντο μὲν τῷ Ἀντωνίῳ ταῦτα, πρός τε τὸ προὖχον αὐτοῦ, καὶ ἐκ τοῦ νόμου, ὅτι ἡ στρατηγία ἐκείνου ἦν· ἐψηφίσαντο δὲ καὶ τῷ Οὐεντιδίῳ, ἅτε καὶ τὴν συμφορὰν τὴν ἐπὶ τοῦ Κράσσου σφίσι γενομένην ἱκανώτατα τοῖς Πάρθοις διὰ τοῦ Πακόρου, καὶ μάλιστα ὅτι[2] ἐν τῇ αὐτῇ ἡμέρᾳ ἑκατέρου τοῦ ἔτους ἀμφότερα συνηνέχθη[3], νομίζοντες ἀνταποδεδωκέναι[4]. Καὶ συνέβη γε τῷ Οὐεντιδίῳ μόνῳ τε τὰ νικητήρια[5] ἑορτάσαι, ὥσπερ καὶ μόνος ἐνίκησεν (ὁ γὰρ Ἀντώνιος προαπώλετο), καὶ δόξαν ἀπό τε τούτου καὶ ἐκ τοῦ παραλόγου ἅμα τῆς τύχης μείζω λαβεῖν· ἐν γὰρ τοῖς τοῦ Πομπηΐου τοῦ[6] Στράβωνος ἐπινικίοις πομπεύσας ποτὲ μετὰ τῶν ἄλλων αἰχμαλώτων, αὐτὸς ἐπινίκια τῶν Πάρθων πρῶτος Ῥωμαίων ἤγαγε[7]. Ταῦτα μὲν χρόνῳ ὕστερον ἐγένετο.

22. Τότε δὲ ὁ Ἀντώνιος προσέβαλε μὲν τῷ Ἀντιόχῳ, καὶ κατακλείσας αὐτὸν ἐς Σαμόσατα ἐπολιόρκει[8]· ὡς δ'

1. A, K : ἠνδραγαθεῖσθαι. — 2. A, C, G, I, K : μάλισθ' ὅτι.

3. Eutrope, VIII, 3 : « L. Ventidius Bassus Pacorum, regis Orodis filium, interfecit eo ipso die, quo olim Orodes Persarum rex per ducem Surenam Crassum occiderat. »

4. Reiske : νομίζοντες αὐτὸν ἀποδεδωκέναι (ou ἀνταποδεδωκέναι).

5. Bekk. ; vulg. : τά τε νικητήρια. — 6. Les édit. de Xiph. omettent cet article, mais il est dans Coislin.

tisfaction, laissa voir sa jalousie, parce qu'il semblait que Ventidius s'était, de son propre chef, bravement comporté, mais encore il lui retira son commandement et ne l'employa plus ni dans le moment, ni dans la suite, bien que Ventidius lui eût, par ce double succès, valu des supplications et les honneurs du triomphe. Les Romains décernèrent ces honneurs à Antoine à cause de sa supériorité et conformément à la loi, parce que c'était lui qui avait le commandement; ils les décernèrent également à Ventidius, parce qu'il avait, suivant l'opinion générale, suffisamment rendu aux Parthes, par la mort de Pacorus (surtout les deux événements ayant eu lieu au même jour de l'année), le désastre subi par la mort de Crassus. Le cours des choses voulut que Ventidius triomphât seul, de même que seul il avait vaincu (Antoine périt auparavant), et qu'il s'illustrât tant pour ce fait que pour l'étrangeté de sa fortune; car, après avoir autrefois figuré avec les autres captifs aux pompes du triomphe de Pompéius Strabon, il fut le premier des Romains qui triompha des Parthes. Mais ces événements eurent lieu plus tard.

22. Antoine, dans le moment, attaqua Antiochus et l'assiégea dans Samosate où il le tenait enfermé; mais

7. Val. Maxime, VI, 9, 9 : « Asculo capto, Cn. Pompeius, Magni pater, P. Ventidium ætate puberem in triumpho suo populi oculis subjecit. Hic est Ventidius, qui postea Romæ ex Parthis et per Parthos de Crassi manibus in hostili solo miserabiliter jacentibus triumphum duxit. »

8. Suivant Plutarque, 34, ce ne fut pas Antoine, mais Ventidius, son lieutenant, qui assiégea Antiochus dans Samosate.

οὐδὲν ἐπέραινεν, ἀλλ' ὅ τε χρόνος ἄλλως ἀναλοῦτο, καὶ τὰ τῶν στρατιωτῶν ἀλλοτρίως οἱ διὰ τὴν τοῦ Οὐεντιδίου ἀτιμίαν ἔχειν ὑπώπτευσε, διεκηρυκεύσατο αὐτῷ κρύφα, καὶ πλαστὰς πρὸς αὐτὸν συνθήκας, ὅπως εὐπρεπῶς ἀπαναστῇ[1], ἐποιήσατο. Ἀμέλει αὐτὸς μὲν οὔτε ὁμήρους, πλὴν δύο, καὶ τούτων οὐκ ἐπιφανῶν, οὔτε τὰ χρήματα ἃ ἤτησεν ἔλαβε[2]· τῷ δ' Ἀντιόχῳ θάνατον Ἀλεξάνδρου τινὸς, αὐτομολήσαντος παρ' αὐτοῦ πρότερον πρὸς τοὺς Ῥωμαίους, ἐχαρίσατο. Καὶ ὁ μὲν, ταῦτα πράξας, ἐς τὴν Ἰταλίαν ἀφωρμήθη[3]· Γάϊος δὲ δὴ Σόσσιος[4] τὴν ἀρχὴν τῆς τε Συρίας καὶ τῆς Κιλικίας παρ' αὐτοῦ λαβὼν, τούς τε Ἀραδίους πολιορκηθέντας τε μέχρι τότε, καὶ λιμῷ καὶ νόσῳ ταλαιπωρηθέντας, ἐχειρώσατο, καὶ τὸν Ἀντίγονον[5], τοὺς φρουροὺς τοὺς παρ' ἑαυτῷ τῶν Ῥωμαίων ὄντας ἀποκτείναντα[6], μάχῃ τε ἐνίκησε, καὶ καταφυγόντα ἐς τὰ[7] Ἱεροσόλυμα,
R. p. 586. πολιορκίᾳ κατεστρέψατο[8]. Πολλὰ μὲν δὴ καὶ δεινὰ καὶ οἱ Ἰουδαῖοι τοὺς Ῥωμαίους ἔδρασαν (τὸ γάρ τοι γένος αὐτῶν θυμωθὲν πικρότατόν ἐστι), πολλῷ δὲ δὴ πλείω αὐτοὶ ἔπα-

1. Robert et Henri Étienne, Sturz et Bekk., avec E. et H. Reim. les autres mss. : ἀκανάστη.

2. Au lieu de mille talents qu'Antiochus avait offerts à Ventidius pour acheter la paix, Antoine (cf. Plutarque, 34) en obtint à peine trente.

3. A, B : ἀρωρμίσθη.

4. Xiph. : Σώσιος. De même que Ventidius avait été envoyé en Asie contre les Parthes, et Canidius en Arménie, en Ibérie et en Albanie, de même Sossius fut envoyé pour conquérir la Syrie, la Phénicie et la Cilicie. Ils obtinrent tous des succès qui confirmèrent ce qu'on disait d'Antoine et de César parmi le peuple (Plutarque, 34) : ὡς εὐτυχέστεροι δι' ἑτέρων ἦσαν, ἢ δι' αὐτῶν στρατηγεῖν.

comme il n'obtenait pas de résultat, et que le temps se passait inutilement; que d'ailleurs il soupçonnait les soldats de dispositions malveillantes à son égard à cause du déshonneur infligé à Ventidius, il parlementa secrètement avec lui, et conclut un traité fictif, afin de se retirer honorablement. Ainsi il ne reçut ni otages, à l'exception de deux, et encore étaient-ils des hommes obscurs, ni l'argent qu'il demandait; mais, pour complaire à Antiochus, il fit mettre à mort un certain Alexandre qui précédemment était passé d'Antiochus aux Romains. Après cela, il partit pour l'Italie. C. Sossius, qui avait reçu de lui le gouvernement de la Syrie et de la Cilicie, réduisit les Aradiens assiégés jusqu'alors et décimés par la famine et par les maladies, vainquit dans une bataille Antigone, qui avait massacré les garnisons romaines placées dans ses États, et emporta d'assaut Jérusalem, où ce prince avait cherché un refuge. Les Juifs, nation cruelle quand elle est irritée, firent beaucoup de mal aux Romains, mais ils en souffrirent eux-mêmes beaucoup plus. Les premiers pris

5. Antigone, fils d'Aristobule, chassé de Judée par Hérode, fils d'Antipater, fut ramené sur le trône de Jérusalem par Pacorus et l'armée des Parthes. Maître de Jérusalem, il fit périr Phasaël, frère d'Hérode, et établi, comme lui, par Antoine, tétrarque de Judée. Cf. Josèphe, XIV, 23 (21 suiv. d'autres). — 6. Cf. Josèphe, XIV, 24 (22 suiv. d'autres).

7. H, K et Bekk.; vulg. om.

8. Au rapport de Josèphe, XIV, 28, Jérusalem fut prise sous le consulat de M. Agrippa et de Caninius Gallus, l'an de Rome 717, trois ans après que, sous le second consulat de Domitius Calvinus et d'Asinius Pollion, l'an 714, Hérode avait été établi roi par Antoine. Cf. Pet. Allixius, « De anno et mense natali Jesu Christi, » p. 130 et 131.

θον. Ἑάλωσαν μὲν γὰρ, πρότεροι[1] μὲν οἱ[2] ὑπὲρ τοῦ τεμένους τοῦ θεοῦ ἀμυνόμενοι, ἔπειτα δὲ καὶ οἱ ἄλλοι ἐν τῇ τοῦ Κρόνου καὶ τότε ἡμέρᾳ ὠνομασμένῃ[3]. Καὶ τοσοῦτόν γε τῆς θρησκείας αὐτοῖς[4] περιῆν, ὥστε τοὺς προτέρους τοὺς μετὰ τοῦ ἱεροῦ χειρωθέντας παραιτήσασθαί τε τὸν Σόσσιον, ἐπειδὴ ἡμέρα αὖθις ἡ τοῦ Κρόνου ἐνέστη, καὶ ἀνελθόντας ἐς αὐτὸ, πάντα μετὰ τῶν λοιπῶν τὰ νομιζόμενα ποιῆσαι[5]. Ἐκείνους μὲν οὖν Ἡρῴδῃ τινὶ ὁ Ἀντώνιος[6] ἄρχειν ἐπέτρεψε[7]· τὸν δ' Ἀντίγονον ἐμαστίγωσε, σταυρῷ προσδήσας, ὃ μηδεὶς ἄλλος βασιλεὺς[8] ὑπὸ Ῥωμαίων ἐπεπόνθει, καὶ μετὰ τοῦτο καὶ ἀπέσφαξεν[9]. Ἐπὶ μὲν δὴ τοῦ τε Κλαυδίου τοῦ τε Νωρβανοῦ τοῦθ' οὕτως ἐγένετο[10].

23. Τῷ δ' ἐπιγιγνομένῳ[11] ἔτει, οἱ μὲν Ῥωμαῖοι οὐδὲν ἐν τῇ Συρίᾳ λόγου ἄξιον ἔπραξαν· Ἀντώνιος μὲν γὰρ ἔς τε τὴν Ἰταλίαν ἀφικνούμενος, καὶ ἐκεῖσε αὖθις ἐπανιὼν, πάντα τὸν ἐνιαυτὸν κατέτριψε[12]· Σόσσιος δὲ, ἅτε τὰ ἐκείνου, ἀλλ' οὐ τὰ ἑαυτοῦ ἐπαύξων, καὶ διὰ τοῦτο καὶ τὸν

1. G : πρότερον; C, H : γὰρ δὴ πρότερον. — 2. Vulg. et E, H om.

3. On croit généralement que Jérusalem fut prise par Sossius un samedi (jour de Saturne), comme elle l'avait été vingt-deux ans auparavant par Pompée (cf. XXXVII, 16). Josèphe, à la fin du livre XIV, ajoute : τῇ ἑορτῇ τῆς νηστείας; Strabon, XVI, p. 763 : τηρῆσαι [τὸν Πομπήϊον] τὴν τῆς νηστείας ἡμέραν : ces témoignages semblent autoriser Penzel à conclure que Jérusalem ne fut pas prise un samedi. — 4. Le Grammairien publié dans les *Anecdota* de Bekker, vol. I, p. 166, 13 : αὐτῷ.

5. Josèphe raconte que les Juifs, assiégés par Hérode et par les Romains, obtinrent, à force de prières, la permission d'amener chaque jour des victimes.

6. Leuncl., en marge, Σόσσιος. « Sed Ἀντώνιος, dit Reimarus, etiam

furent ceux qui défendaient le temple de leur dieu, les autres le furent plus tard, le jour appelé même alors jour de Saturne. La ferveur religieuse était poussée à tel point que les premiers, c'est-à-dire ceux dont Sossius s'était emparé avec le temple, lui demandèrent la grâce, au retour du jour de Saturne, de rentrer dans le temple pour y accomplir, avec le reste de leurs concitoyens, toutes les prescriptions de leur loi. Antoine confia le gouvernement de ce pays à un certain Hérode ; quant à Antigone, il le fit battre de verges après l'avoir attaché à un poteau, traitement qui n'avait jamais été infligé à aucun autre roi par les Romains ; puis il le fit mettre à mort. Ces choses se passèrent de la sorte sous Claudius et Norbanus.

23. L'année suivante, les Romains ne firent en Syrie rien qui mérite d'être rapporté. Antoine perdit l'année tout entière à se rendre en Italie et à revenir en Syrie ; Sossius, comme c'était la gloire d'Antoine et non la sienne qu'il aurait augmentée, et que pour ce motif il

recte legitur apud Xiphilinum. Nec enim legatus Sossius, injussu Antonii, de Antiocho statuere poterat. » — 7. Cf. Josèphe. — 8. C om.

9. Reimarus (note 110) démontre que Strabon, avec lequel s'accordent Josèphe, XV, 1, et Plutarque, ne contredit pas Dion en racontant qu'Antigone, amené à Antioche par Antoine, fut frappé de la hache en présence du peuple.

10. Josèphe, à la fin du livre XIV, affirme que Jérusalem fut prise non sous le consulat de Claudius et de Norbanus, mais l'année suivante, l'an de Rome 717, sous celui de M. Agrippa et de L. Caninius. Dion parle du commencement du siége, Josèphe de sa fin, époque où il faut faire également remonter le commencement du règne d'Hérode.

11. A, C : τῷ δὲ ἐπιγιγνομένῳ. — 12. B : κατέτρεψε.

φθόνον[1] τήν τε ὀργὴν αὐτοῦ φοβούμενος[2], διετέλεσεν οὐχ ὅπως προσκατορθώσας[3] τι, ἀπεχθήσοιτό οἱ, ἀλλ' ὅπως ἡσυχίαν ἄγων χαρίσαιτο· τὰ δὲ δὴ τῶν Πάρθων ἰσχυρῶς αὐτὰ καθ' ἑαυτὰ ἐκ τοιοῦδέ τινος ἐνεωτερίσθη. Ὁ Ὀρώδης, ὁ βασιλεὺς αὐτῶν, ἐπειδὴ τῇ τε ἡλικίᾳ καὶ τῷ πένθει τῷ τοῦ Πακόρου ἔκαμνε[4], Φραάτῃ, τῷ πρεσβυτάτῳ τῶν λοιπῶν παίδων[5], τὴν ἀρχὴν ζῶν ἔτι ἐνεχείρισε[6]· καὶ ὃς, παραλαβὼν αὐτήν, ἀνοσιώτατος ἀνθρώπων ἐγένετο· τούς τε γὰρ ἀδελφοὺς τοὺς ἐκ τῆς τοῦ Ἀντιόχου θυγατρὸς[7] γεγεννημένους ἐδολοφόνησεν, ὅτι καὶ τὴν ἀρετὴν καὶ τὸ γέ-
R.p.587. νος τὸ μητρόθεν ἀμείνους ἦσαν· καὶ αὐτὸν ἐκεῖνον[8] δυσανασχετοῦντα ἐπὶ τούτῳ ἐπαπέκτεινε[9], καὶ μετὰ ταῦτα καὶ τῶν ἄλλων τοὺς γενναιοτάτους ἔφθειρε· καὶ πολλὰ ἕτερα καὶ δεινὰ ἐποίει, ὥστε συχνοὺς τῶν πρώτων[10] ἐγκαταλιπόντας αὐτὸν, τοὺς μὲν ἄλλοσε, τοὺς δὲ καὶ πρὸς τὸν Ἀντώνιον ἀποχωρῆσαι, ἐν οἷς καὶ ὁ Μοναίσης ἦν. Τοῦτο μὲν ἐπὶ τοῦ Ἀγρίππου καὶ ἐπὶ τοῦ Γάλλου ὑπατευόντων[11] ἐγένετο.

1. Henri Étienne, Leuncl., d'après Xyl., suivis par les éd. subséq.; cette leçon est d'ailleurs confirmée par les mss.; Robert Étienne : φόνον.

2. Reiske pense que ἐκστὰς, ou ἀποφεύγων, ou bien encore φυλαττόμενος, conviendrait mieux ici.

A partir de cet endroit, I n'offre plus, pour ce livre, de variantes importantes. M. Gros n'a pas cru devoir les relever, à l'exception de celles qui partent de la fin du ch. 39 ἦ ἵνα *jusqu'à la fin du ch.* 49, *le feuillet correspondant ayant été déchiré dans* A.

3. Reiske : προκατορθώσας.

4. Cf. Justin, XLII, 4.

5. Reimarus : « Tertius hic inter Parthorum reges Phraates post primum Mithridatis filium, et secundum filium Sinatrucis sive Sinatrici, Orodis patrem. » C, F, H : τῶν παίδων τῷ πρεσβυτάτῳ.

redoutait sa jalousie et sa colère, passa tout son temps à chercher non les moyens de déplaire à son général par des succès, mais ceux de lui être agréable en ne faisant rien. Chez les Parthes, les affaires prirent une face toute nouvelle par suite de l'événement que voici. Orode, leur roi, fatigué par l'âge et la douleur de la perte de Pacorus, abdiqua son autorité en faveur de Phraate, l'aîné des enfants qui lui restaient. Celui-ci, devenu maître du pouvoir, se montra le plus impie des hommes : il mit à mort par ruse ses frères nés de la fille d'Antiochus, parce qu'ils lui étaient supérieurs en mérite, ainsi qu'en noblesse du côté maternel; il tua aussi de sa propre main Orode, qui voyait ces meurtres avec douleur, et fit ensuite périr les plus nobles de ses sujets; il commit aussi beaucoup d'autres crimes qui décidèrent un grand nombre de gens du premier rang à l'abandonner, pour passer, les uns autre part, les autres à Antoine; parmi ces derniers était Monæsès. Ce fait eut lieu sous le consulat d'Agrippa et de Gallus.

6. B : ζῶν ἐτ' ἐνεχείρισε. — 7. La fille d'Antiochus de Commagène, dont il a été question plus haut. Justin n'est pas d'accord avec Dion : « Multæ pellices, ex quibus generata tanta juventus erat, pro suis quæque sollicitæ, animum senis obsidebant. »

8. Au lieu de αὐτὸν ἐκεῖνον, Xiph. : τὸν (Coisl. om. : πατέρα) Ὡρώδην.

9. Justin, XLII, 5, ici encore, ne s'accorde pas avec Dion : « Itaque statim, quasi nollet mori, patrem interfecit : fratres quoque xxx trucidat, sed nec in filiis cessant parricidia. Nam quum infestos sibi optimates propter assidua scelera videret, ne esset qui nominari rex posset, adultum filium interfici jubet. » Vulg., E et Zon. : ἀπέκτεινε. — 10. G om.

11. Vulg. : ὑπατεύοντος, faute corrigée par Leuncl. (cf. sa note) de trois manières, dont l'une, la leçon qui se lit ici, est confirmée par les mss. (excepté E) et suivie par Reim., Sturz et Bekker.

24. Ἐν δὲ δὴ τῷ λοιπῷ χειμῶνι, τοῦ τε Γελλίου καὶ τοῦ Νερούα ἀρχόντων, Πούπλιος Κανίδιος[1] Κράσσος ἐπὶ Ἴβηρας τοὺς ταύτῃ στρατεύσας, μάχῃ τε τὸν βασιλέα αὐτῶν Φαρνάβαζον ἐνίκησε, καὶ ἐς συμμαχίαν προσηγάγετο· καὶ μετ' αὐτοῦ ἐς τὴν Ἀλβανίδα τὴν ὅμορον ἐμβαλών, καὶ ἐκείνους τόν τε βασιλέα αὐτῶν Ζόβηρα κρατήσας, ὁμοίως αὐτοὺς ὡκειώσατο. Τούτοις τε οὖν ἐπαρθεὶς ὁ Ἀντώνιος, καὶ προσέτι καὶ ἐπὶ τῷ Μοναίσῃ πολλὰ ἐπελπίσας[2] (καὶ γὰρ ὑπέσχητο αὐτῷ τῆς τε στρατιᾶς ἡγήσεσθαι, καὶ τὰ πλείω τῆς Παρθίας ἀκονιτὶ προσποιήσειν), τόν τε πόλεμον τὸν πρὸς αὐτοὺς ἐς χεῖρας[3] ἦγε τῷ[4] Μοναίσῃ, ἄλλα τε καὶ[5] τρεῖς τῶν Ῥωμαίων πόλεις[6], μέχρις ἂν[7] διαπολεμήσῃ, νέμεσθαι ἔδωκε, καὶ προσέτι καὶ τὴν τῶν Πάρθων βασιλείαν ὑπέσχετο. Πραττόντων δὲ αὐτῶν ταῦτα, δείσας ὁ Φραάτης, ἄλλως τε καὶ τῶν Πάρθων χαλεπῶς ἐπὶ τῇ τοῦ Μοναίσου φυγῇ φερόντων, ἐπεκηρυκεύσατό τε αὐτῷ[8], οὐδὲν ὅ τι[9] οὐκ ἐπαγγελλόμενος, καὶ ἔπεισεν[10] αὐτὸν ἐπαναχωρῆσαι. Γνοὺς οὖν τοῦτο ὁ Ἀντώνιος, ὀργὴν μὲν, ὥσπερ εἰκὸς, ἐποιεῖτο, οὐ μέντοι ἀπέκτεινε τὸν Μοναίσην, καίπερ ἐν τῇ αὐτοῦ ἐπικρατείᾳ ἔτ' ὄντα[11]· οὔτε γὰρ ἄλλον τινὰ τῶν βαρβάρων, ἄν γέ τι τοιοῦτο ποιήσῃ, σφετερίσασθαι προσεδόκησε· καί τινα ἀπάτην ἐπ' αὐτοὺς παρεσκευάζετο. Ἐκεῖνόν τε οὖν ἀφῆκεν,

1. A, C : Καννίδιος; G : Καινίδιος. — 2. H, K et Bekk.; vulg. : ἐλπίσας.
3. G : πρὸς ἐς χεῖρας, omettant αὐτούς.
4. Bekk.; vulg. : ἤγετο τῷ; Reiske corrigeait déjà : ἦκε.
5. Leuncl. veut lire ici καὶ ἄλλα τε καί. — 6. Larisse, Aréthuse et Hié-

24. Pendant le reste de l'hiver, sous les consuls Gellius et Nerva, P. Canidius Crassus, ayant marché contre les Ibères de ces contrées, défit dans une bataille leur roi Pharnabaze et l'amena à une alliance; puis, étant entré avec lui dans l'Albanie, pays limitrophe, il battit les habitants et leur roi Zober, qu'il attira également à son parti. Enflé de ses succès et surtout fondant de grandes espérances sur Monæsès (Monæsès lui avait promis de se mettre à la tête d'une expédition et de soumettre sans coup férir la plus grande partie du pays des Parthes), Antoine lui donna la conduite de la guerre contre les Parthes, lui concéda, entre autres faveurs, la possession jusqu'à la fin de la guerre de trois villes appartenant aux Romains, et, de plus, lui promit le royaume des Parthes. Pendant qu'ils faisaient ces choses, Phraate, saisi de crainte, surtout parce que les Parthes étaient irrités de l'exil de Monæsès, traita avec lui en lui faisant toutes les offres possibles et le persuada de revenir. Antoine, quand il connut cette défection, s'en irrita, comme il était juste; néanmoins il ne fit pas mourir Monæsès, bien qu'il fût encore en son pouvoir, car il pensa que, s'il le faisait, aucun autre parmi les Barbares ne s'attacherait à lui; mais il tendit un piége au roi et à Monæsès. En conséquence, il le laissa

rapolis. — 7. A, C, Sturz et Bekk.; vulg. : μέχρι ἄν.

8. Le Grammairien publié dans les *Anecdota* de Bekker, vol. I, p. 141, 18 : ἐπεχηρύκευσαν τότε αὐτῷ. — 9. H : ἔτι.

10. G : ἔπειτα au lieu de ἔπεισεν. — 11. C : ὅτα ἔτι.

ὡς καὶ τὰ τῶν Πάρθων οἱ προσποιήσοντα, καὶ πρέσβεις
R.p.588. μετ' αὐτοῦ πρὸς τὸν Φραάτην ἔπεμψε. Καὶ λόγῳ μὲν τὴν εἰρήνην ἔπραττεν, ἐπὶ τῷ τά τε σημεῖα καὶ τοὺς αἰχμαλώτους τοὺς ἐν τῇ τοῦ Κράσσου συμφορᾷ ἁλόντας κομίσασθαι, ἵν' ἀπαράσκευον[1] τὸν βασιλέα διὰ τὴν τῆς συμβάσεως ἐλπίδα λάβῃ· ἔργῳ δὲ, τὰ τοῦ πολέμου πάντα ἡτοιμάζετο

25. Καὶ ἦλθε μέχρι τοῦ Εὐφράτου, νομίζων ἔρημον αὐτὸν φρουρᾶς εἶναι· ἐπεὶ μέντοι πάντα τὰ ταύτῃ διὰ φυλακῆς ἀκριβοῦς ὄντα εὗρεν, ἐκεῖθεν μὲν ἀπετράπετο, ἐπὶ[2] δὲ τὸν τῶν Μήδων βασιλέα Ἀρταουάσδην[3] τῷ τῆς Ἀρμενίας τῆς μείζονος βασιλεῖ, ὁμωνύμῳ τέ οἱ καὶ ἐχθρῷ ὄντι, πεισθεὶς στρατεῦσαι, πρὸς τὴν Ἀρμενίαν εὐθὺς ὥσπερ εἶχεν ἐχώρησε[4]· καὶ μαθὼν ἐνταῦθα τὸν Μῆδον πολὺ[5] ἀπὸ τῆς οἰκείας ἐπὶ τῇ τοῦ Πάρθου συμμαχίᾳ ἀπηρκότα, τὰ μὲν σκευοφόρα καὶ τοῦ στρατοῦ μέρος μετ' Ὀππίου Στατιανοῦ[6] ὑπελίπετο[7], ἐπακολουθεῖν σφᾶς κελεύσας· αὐτὸς δὲ τούς τε[8] ἱππέας καὶ τοῦ πεζοῦ τὸ κράτιστον λαβὼν, ἠπείχθη ὡς καὶ αὐτοβοεὶ πάντα τὰ[9] τῶν ἐναντίων αἱρήσων· καὶ τοῖς Πραάσποις[10] τῷ βασιλείῳ αὐτῶν προσπεσὼν, χώματά τε ἔχου, καὶ προσβολὰς ἐποιεῖτο. Πυθόμενοι δὲ ταῦτα ὅ τε Πάρθος καὶ ὁ Μῆδος, ἐκεῖνον μὲν

1. Bekk.; vulg. : ἵνα ἀπαράσκευον. — 2. E : ἐπει. Xyl. avait déjà indiqué la correction.
3. Xylander : « Alii Ἀρτάβαζον habent. » — 4. G om. : πρὸς τὴν Ἀρμενίαν... ἐχώρησε.

partir, comme s'il devait lui soumettre les Parthes, et envoya avec lui des ambassadeurs à Phraate. En apparence, il faisait la paix à la condition que les enseignes et les captifs pris lors de la déroute de Crassus seraient rendus, afin de saisir le roi au dépourvu, en lui donnant l'espérance d'un traité, tandis qu'en réalité il faisait tous ses préparatifs pour la guerre.

25. Il s'avança ainsi jusqu'à l'Euphrate, qu'il ne croyait pas défendu; mais, ayant trouvé toutes les positions gardées avec soin, il s'en détourna pour marcher contre Artavasde, roi des Mèdes, à la persuasion du roi de la Grande Arménie, son homonyme et son ennemi. Là, ayant appris que le Mède était allé bien loin de chez lui porter secours au Parthe, il laissa en arrière ses bagages et une partie de son armée sous le commandement d'Oppius Statianus, avec ordre de le suivre. Lui-même, avec sa cavalerie et l'élite de son infanterie, il précipita sa marche, dans l'espoir d'emporter d'emblée toutes les possessions des ennemis; puis, quand il fut arrivé devant Proaspi, résidence habituelle du roi, il éleva des retranchements et commança l'attaque. Le Parthe et le Mède, informés de cette agression, le lais-

5. Henri Étienne et Leuncl., d'après Xyl., et les edit. subséq.; de même G, K; vulg. et A, B, C, E, H : πολύν. — 6. Zonaras : Στρατιανοῦ; H : Τατιανοῦ. — 7. Bekk.; vulg. : ὑπελείπετο. — 8. Vulg. et E, H om.
9. H, Sturz et Bekk.; vulg om. — 10. Xiph. : Φραάτους.

μάτην εἴων πονεῖσθαι (τά τε γὰρ τείχη ἰσχυρὰ ἦν, καὶ συχνοὶ ἀπ' αὐτῶν ἠμύνοντο)· τῷ δὲ δὴ Στατιανῷ ἀπροσδοκήτῳ τε ἐν τῇ πορείᾳ καὶ κεκμηκότι προσπεσόντες, πάντας, πλὴν τοῦ Πολέμωνος, τοῦ ἐν τῷ Πόντῳ βασιλεύοντος καὶ τότε συστρατεύοντος αὐτῷ, ἐφόνευσαν· τοῦτον γὰρ δὴ μόνον καὶ ἐζώγρησαν καὶ ἀπέλυσαν, χρήματα λαβόντες. Ἠδυνήθησαν δὲ ταῦτα πρᾶξαι, ὅτι ὁ μὲν Ἀρμένιος οὐ παρεγένετο τῇ μάχῃ, ἀλλὰ καὶ δυνηθεὶς ἂν, ὡς φασί τινες, ἐπικουρῆσαι τοῖς Ῥωμαίοις, οὔτε τοῦτο ἐποίησεν[1], οὔτε πρὸς τὸν Ἀντώνιον ἀφίκετο, ἀλλ' ἐς τὴν οἰκείαν ἀνεχώρησεν[2].

26. Ὁ δ' Ἀντώνιος ἠπείχθη μὲν πρὸς τὴν πρώτην πεμφθεῖσάν[3] οἱ ὑπὸ τοῦ Στατιανοῦ ἀγγελίαν, ὡς καὶ βοηθήσων αὐτῷ, ὑστέρησε[4] δέ· ἔξω γὰρ τῶν νεκρῶν οὐδένα εὗρε. Καὶ κατὰ μὲν τοῦτ' ἐφοβήθη, ὅτι δὲ οὐδενὶ[5] τῶν βαρβάρων ἐνέτυχεν, ὑπετόπησέ τε ἀπεληλυθέναι σφοὺς ὑπὸ δέους, καὶ ἀνεθάρσησε. Κἀκ τούτου συμβαλὼν σφίσιν οὐ πολλῷ ὕστερον, τροπὴν μὲν αὐτῶν ἐποιήσατο· οἱ γὰρ σφενδονῆται, πολλοί τε[6] ὄντες, καὶ μακροτέραν[7] τῶν τόξων ἱέντες, πάντα καὶ τὸν κατάφρακτον ἰσχυρῶς
B.p.389. ἐλυμαίνοντο, οὐ μέντοι καὶ ἀξιόλογόν τι πλῆθος ἔφθειρεν[8]·

1. A, C, G, K : τοῦτ' ἐποίησε. — 2. Vulg. et E : οἰκείαν ἐχώρησεν. La préposition du verbe a été absorbée par la finale du mot précédent.

3. Bekk. ; B : πρεμωθεῖσαν ; vulg. : προσελθοῦσαν.

4. A, B, C, H, K et Bekk. ; Xyl. voulait déjà écrire ainsi, parce que, dit-il, « orthographia requirit; quanquam libro sequenti etiam ὑστερίσωσι dixerit. » Reim., qui conserve la vulgate ὑστέρισε : « Immo utrumque ὑστερίζω æque ac ὑστερέω dicitur pro *tardius venire* [cf. l'*Index*], ut

sèrent s'épuiser en vain (les remparts de la ville étaient solides et défendus par une garnison nombreuse), et, fondant à l'improviste sur Statianus, qui était fatigué par la marche, ils massacrèrent tout, à l'exception de Polémon, roi de Pont, qui alors combattait dans les rangs de Statianus; celui-là fut pris vivant, et il obtint la liberté, moyennant rançon. Or, s'ils purent accomplir cette action, c'est que l'Arménien ne prit point part au combat; que, bien qu'il eût pu, au rapport de quelques historiens, secourir les Romains, il n'en fit rien, et qu'au lieu de rejoindre Antoine, il se retira dans ses États.

26. Antoine, au premier avis qu'il avait reçu de Statianus, s'était hâté d'aller à son secours; mais il arriva trop tard, il ne trouva plus que des cadavres. Il en fut effrayé; mais, comme il ne rencontra aucun Barbare, il pensa que la crainte les avait fait déloger, et se rassura. Par suite, dans un engagement qu'il eut avec eux peu de temps après, il les mit en fuite; car les frondeurs, qui étaient en grand nombre, et dont les coups atteignaient plus loin que les flèches, portèrent le ravage, même parmi les soldats cuirassés, sans cependant en faire périr une quantité notable, parce que les Bar-

multis exemplis constat, sicut et h. l. ὑστερίσαντος Zonaras. » Sturz suit Reim. Avec Bekker, j'ai suivi la pluralité des manuscrits.

5. Reimarus : « Ita scripsi pro οὐδεὶς, quod editi Dionis libri habent. Idem conjectura assecutus est Oddeyus. » Tous les mss. dont j'ai la collation sous les yeux portent οὐδενί. — 6. B om.

7. Bekk.; C, G, H : μακροτέρων; vulg. et les autres mss. : μακροτέρω

8 Bekk.; vulg. : ἐρθειρον.

οἱ γὰρ βάρβαροι διαταχέων ἀφίππευον[1]. Τοῖς τε οὖν Πραάσποις αὖθις προσέμιξε, καὶ ἐκεῖνα ἐπολιόρκει, τοὺς μὲν πολεμίους μηδὲν μέγα λυπῶν (οἵ τε γὰρ ἔνδον ὄντες ἰσχυρῶς αὐτὸν ἀπεκρούοντο, καὶ οἱ ἔξωθεν οὐ ῥᾳδίως αὐτῷ συνέμισγον), τῶν δὲ δὴ σφετέρων πολλοὺς μὲν ἐν[2] τῇ τῶν ἐπιτηδείων καὶ ζητήσει καὶ ἐπαγωγῇ ἀποβάλλων, συχνοὺς δὲ καὶ αὐτὸς κολάζων[3]. Τὸ μὲν γὰρ πρῶτον, ἕως ἔτι αὐτόθεν ποθὲν τὴν τροφὴν ἐλάμβανον, ἐξήρκουν ἐς[4] ἀμφότερα, ὥστε καὶ τὴν προσεδρείαν καὶ τὴν λῆψιν αὐτῆς ἀσφαλῆ ποιεῖσθαι· ἐπεὶ δὲ τά τε ἐγγὺς πάντα κατανάλωτο, καὶ πόρρω ποι οἱ στρατιῶται προχωρεῖν ἠναγκάζοντο, συνέβαινεν αὐτοῖς, εἰ μὲν ὀλίγοι ποι[5] πεμφθεῖεν, μὴ μόνον μηδὲν φέρειν, ἀλλὰ καὶ προσαπόλλυσθαι· εἰ δὲ δὴ πλείους, ἔρημον τὸ τεῖχος τῶν πολιορκούντων[6] καταλείπειν, καὶ πολλοὺς μὲν ἄνδρας ἐν τούτῳ, πολλὰς δὲ καὶ μηχανὰς, ἐπεξιόντων σφίσι τῶν βαρβάρων, ἀποβάλλειν.

27. Καὶ διὰ ταῦτα ὁ Ἀντώνιος καὶ κριθὴν πᾶσιν αὐτοῖς ἀντὶ τοῦ σίτου ἔδωκε, καὶ ἐδεκάτευσέ τινας· τό τε σύμπαν, πολιορκεῖν δοκῶν, τὰ τῶν πολιορκουμένων ἔπασχεν· οἵ τε γὰρ ἐν τῷ τείχει τοὺς καιροὺς τῶν ἐπεκδρομῶν ἀκριβῶς ἐτήρουν, καὶ οἱ ἔξω τοῖς τε κατὰ χώραν μένουσιν αὐτῶν, ὁπότε δίχα γένοιντο, δεινῶς, καὶ προσελαύνοντες ἐξαπίνης, καὶ ὑποστρέφοντες δι' ὀλίγου, ἐνέ-

1. Conjecture d'Oddey, que Reim. déclare assez probable, et que Bekk. reproduit en note. Vulg. : ἵππευον.

2. A, B et Bekk.; vulg : ἐπί.

bares, sur leurs chevaux, s'enfuirent rapidement. Antoine attaqua donc de nouveau Proaspi et en fit le siége, sans causer grand dommage aux ennemis (ceux qui étaient dans l'intérieur de la ville le repoussaient vigoureusement, et ceux qui étaient en dehors n'engageaient que rarement une action avec lui), mais en perdant beaucoup de soldats, tant pour aller chercher et pour rapporter des vivres, que par les châtiments qu'il infligeait lui-même à un grand nombre. En effet, dans le principe, tant qu'ils tirèrent les vivres du pays même, ils purent suffire à la fois et à faire le siége et à s'approvisionner en sûreté ; mais quand tout le voisinage fut épuisé et qu'ils furent forcés d'aller au loin, alors il arriva que, lorsqu'ils étaient en petites troupes, non-seulement ils n'apportaient rien, mais encore ils étaient tués ; et que, si leurs troupes étaient plus considérables, le mur restait dégarni d'assiégeants, circonstance dont les Barbares profitaient pour exécuter des sorties dans lesquelles ils faisaient perdre aux Romains beaucoup d'hommes et de machines.

27. Aussi Antoine donna à tous ses soldats de l'orge en place de blé, et décima plusieurs corps ; en un mot, en semblant assiéger la ville, il souffrait les maux de ceux qui subissent un siége. En effet, ceux qui étaient dans l'intérieur des murailles observaient avec soin les moments propices pour effectuer leurs sorties, tandis que ceux du dehors, lorsque les Romains restés devant la place étaient divisés, les harcelaient cruellement, en

3. Cf. le ch. suivant et Plutarque, 39

4. Com. — 5. G : πῇ. — 6. G et Bekk. : πολιορκησόντων ; leçon que Reim. déclare également bonne.

κειντο· καὶ τοῖς σιταγωγοῦσιν, ἐπὶ μὲν τὰς κώμας ἀπιοῦσιν, οὐκ ἠνώχλουν, σκεδαννυμένοις δὲ δὴ καὶ ἀνακομιζομένοις προσέπιπτον ἀνέλπιστοι. Προσκαθημένου δ' οὖν καὶ ὡς αὐτοῦ τῇ πόλει[1], δείσας ὁ Φραάτης[2], μὴ καὶ κακόν[3] τι αὐτὴν ἐν τῷ χρόνῳ[4], ἤτοι καὶ[5] καθ' ἑαυτὸν τρόπον τινὰ, ἢ καὶ συμμαχίαν ποθὲν προσλαβών[6], ἐργάσηται, ἔπεισεν αὐτὸν ὑποπέμψας τινὰς, ἐπικηρυκεύσασθαί οἱ[7], ὡς καὶ ῥᾷστα τῶν σπονδῶν τευξόμενον. Κἀκ τούτου[8] τοῖς τε πεμφθεῖσιν ὑπ' αὐτοῦ ἐχρημάτισεν, ἐπί τε χρυσοῦ δίφρου καθήμενος, καὶ τὴν νευρὰν τοῦ τόξου ψάλλων[9], καὶ καταδραμὼν αὐτοὺς[10] πολλὰ, τέλος[11] τὴν εἰρήνην, ἄν γε παραχρῆμα ἀποστρατοπεδεύσωνται, δώσειν ὑπέσχετο[12].

R. p. 590. Ἀκούσας οὖν τοῦτο ὁ Ἀντώνιος, καὶ φοβηθείς τε ἅμα τὴν μεγαλαυχίαν αὐτοῦ, καὶ πιστεύσας ὅτι, ἄν που[13] μεταστῇ, σπείσεται, ἀπανέστη, μηδὲν τῶν ἐς τὴν πολιορκίαν παρεσκευασμένων, ὡς καὶ ἐν φιλίᾳ, φθείρας.

28. Ποιήσαντος δὲ αὐτοῦ τοῦτο, καὶ τὰς σπονδὰς προσδεχομένου, οἵ τε Μῆδοι καὶ τὰ μηχανήματα κατέκαυσαν, καὶ τὰ χώματα διεσκέδασαν· καὶ οἱ Πάρθοι λό-

1. Ici commence dans le ms. de Bavière n° 3 (je l'appellerai L), et dans le ms. du Vatican n° 1418 (je l'appellerai M), un extrait qui s'arrête aux premières lignes du chapitre suivant. L, M : ὅτι τοῦ Ἀντωνίου τῶν Παρθένων (L : τῇ τῶν Παρθῶν) πόλει προσκαθημένου.

2. L : Φραώτης; M : Φρανάτης. — 3. H om. : μὴ καὶ κακόν.

4. C : ἐν τῷ χρόνῳ αὐτήν. — 5. B, K et Bekk. ; vulg. : ἢ καί.

6. L, M om. : αὐτὴν... προσλαβών.

7. L, M om. — 8. L, M : Καὶ αὐτός.

9. L, M : ψαύων; de même le Critique désigné par N dans Reimarus : Ita quoque in ms. Sylburgi de legationibus reperiri testatur Leunclavius,

les attaquant à l'improviste et se retirant bientôt après. Quant aux fourrageurs, ils ne les incommodaient en aucune façon tant qu'ils gagnaient les villages, mais fondaient inopinément sur eux lorsqu'ils étaient dispersés et qu'ils revenaient. Comme Antoine, malgré cela, n'en continuait pas moins le siége, Phraate, craignant qu'avec le temps il ne fît quelque mal à la ville, soit avec ses seules forces, soit avec quelque allié qu'il se procurerait, le détermina par des émissaires à proposer la paix, donnant à entendre qu'il obtiendrait aisément un traité. Aussi répondit-il aux envoyés d'Antoine, assis sur un trône d'or, la main sur la corde de son arc, et se répandant en reproches contre les Romains; il finit par promettre de leur accorder la paix, à la condition qu'ils lèveraient le siége sans retard. Antoine, en entendant cette réponse, effrayé de la hauteur de Phraate, et se flattant, s'il se retirait, d'obtenir un traité de paix, fit retraite, sans rien détruire de ce qu'il avait préparé pour le siége, et comme s'il eût été sur une terre amie.

28. Après avoir opéré ce mouvement, et tandis qu'il attendait le traité, les Mèdes brûlèrent les machines et renversèrent les retranchements de fond en comble;

rectius hoc judicans. Sed illud (ψάλλων) omnino præferendum, imo unice verum, siquidem locum hunc Dionis ita laudatum deprehendo apud Suidam in ψαλλόμενος. » Le Grammairien publié dans les *Anecdota* de Bekker, vol. I, p. 180, 3, semble préférer ψάλλων, en s'exprimant ainsi : Δίων τεσσαρακοστῷ ἑνάτῳ βιβλίῳ· τὴν νευρὰν ψάλλω, αἰτιατικῇ· τοῦ τόξου ψάλλων. Τινὰ δὲ τῶν ἀντιγράφων ἔχουσι ψαύων.

10. L, M : καταδραμὼν οὖν αὐτούς, au lieu de καὶ καταδραμὼν αὐτούς. 11. L, M om. — 12. L, M abrégent ainsi le passage qui suit ὑπέσχετο jusqu'à κατέκαυσαν, au ch. suivant : Ὃ καὶ γέγονεν· καὶ τὰ μηχανήματα τῶν Ῥωμαίων κατεκαύθη. — 13. Bekk., en note, comme conjecture : ποι.

γον μὲν οὐδένα ὑπὲρ τῆς εἰρήνης αὐτῷ ἔπεμψαν, προσπεσόντες δὲ αἰφνίδιοι[1] πολλὰ καὶ δεινὰ εἰργάσαντο. Ὡς οὖν ἔμαθεν ὅτι ἠπάτηται, πρεσβεύσασθαι μὲν οὐκέτ' ἐτόλμησεν[2] (οὔτε γὰρ ἐπὶ μετρίοις τισὶ καταλύσεσθαι προσεδόκησε, καὶ τοὺς στρατιώτας ἐς ἀθυμίαν ἐκ τῆς τῶν σπονδῶν διαμαρτίας ἐμβαλεῖν οὐκ ἠθέλησεν), ἐπειδήπερ ἅπαξ ἐξανειστήκει, ἐς τὴν Ἀρμενίαν ἔγνω. Καὶ ἑτέραν τινὰ ὁδὸν[3] (ἦν γὰρ[4] ἦλθον, ἀποκεκλεῖσθαι σφίσι παντελῶς ἐνόμιζον[5]) διερχόμενοι[6], πολλὰ καὶ ἄτοπα ἔπαθον. Ἔς τε γὰρ χωρία ἄγνωστα ἐσπίπτοντες ἐσφάλλοντο, καὶ προσέτι καὶ οἱ βάρβαροι τὰ στενόπορα αὐτῶν προκαταλαμβάνοντες, τὰ μὲν ἀπέσκαπτον, τὰ δὲ ἀπεσταύρουν· τήν τε ὑδρείαν πανταχοῦ ἐδυσχέραινον[7], καὶ τὰς νομὰς ἐξέτριβον· καὶ εἴγε που κατὰ τύχην δι' ἐπιτηδειοτέρων τινῶν τόπων χωρήσειν ἔμελλον, ἐκείνων μὲν σφᾶς, ὡς καὶ προκατειλημμένων, ψευδαγγελίαις ἀπέτρεπον, ἑτέρας δ' ὁδοὺς προλελοχισμένας ἰέναι ἐποίουν, ὥστε πολλοὶ μὲν ἐν τῷ τοιούτῳ, πολλοὶ δὲ καὶ ὑπὸ λιμοῦ ἐφθείροντο[8].

29. Καὶ ἐκ τούτου καὶ αὐτομολία τις ἐγένετο. Κἂν πάντες μετέστησαν, εἰ μήπερ οἱ βάρβαροι τοὺς τολμήσαντας αὐτὸ ποιῆσαι, ἐν τοῖς τῶν ἄλλων ὀφθαλμοῖς κατε-

1. H : αἰφνίδιον. — 2. B : οὐκ ἐτόλμησεν. — 3. Un Marde guidait Antoine par une route à droite des montagnes. Cf. Plutarque 41 et suiv.

4. Leuncl. veut supprimer cette conjonction, ou lire ἤνπερ, à moins, ce qui, suivant Reim., vaut peut-être mieux, de changer, plus bas, νομίζοντες en ἐνόμιζον. Avec Bekk. j'ai adopté ce dernier parti. On pourrait, peut-être aussi, au lieu de ἦν γὰρ ἦλθον, lire ἦν ἀνῆλθον. Cette conjecture, que la paléographie justifierait aisément, rendrait inutile le changement de

les Parthes, non-seulement n'envoyèrent aucun message de paix, mais, fondant sur les Romains à l'improviste, leur firent beaucoup de mal. Antoine, quand il reconnut qu'il était trompé, n'osa plus envoyer de députés (il s'attendait à ne pas obtenir la cessation des hostilités à des conditions modérées, et ne voulait pas décourager les soldats en échouant dans une négociation); il résolut donc de se hâter, puisqu'il avait levé son camp, de se rendre en Arménie. Son armée, en parcourant une nouvelle route (celle par laquelle ils étaient venus étant, ils le pensaient bien, complétement interceptée), eut à supporter des souffrances aussi nombreuses qu'étranges. Leur marche dans ces régions inconnues était pleine de méprises, et, de plus, les Barbares, se saisissant à l'avance des défilés, creusaient ici un fossé, élevaient là des obstacles, les tourmentaient partout où ils allaient puiser l'eau, et anéantissaient les pâturages. Si parfois le hasard devait conduire les Romains à travers des lieux plus favorables, ils les en détournaient par de faux avis, leur annonçant qu'ils étaient occupés, et les faisaient marcher par des chemins couverts de leurs embuscades; de sorte qu'il en périssait un grand nombre par ces tourments et par la faim.

29. Aussi y eut-il quelques désertions à l'ennemi. Tous auraient même déserté, si les Barbares n'eussent percé de flèches sous les yeux des autres ceux qui avaient

νομίζοντες en ἐνόμιζον; mais l'usage général des auteurs et celui de Dion, en particulier, est de rattacher par une conjonction la paranthèse à ce qui précède. — 5. Cf. la note précédente. — 6. A om.

7. Reiske signale cet emploi remarquable et rare de δυσχεραίνειν pour δυσχερῆ ποιεῖν. Du reste, sur certains verbes neutres employés activement, cf. les autorités citées dans la note 80 de Sturz, au ch. 18 du livre XLIII. — 8. Cf. Plutarque, 40.

τόξευσαν. Τούτου τε οὖν ἐπέσχον[1], καί τι καὶ[2] τοιόνδε παρὰ τὴ τύχη εὕροντο. Ἐσπεσόντες ποτὲ ἐς ἐνέδραν, καὶ πυκνοῖς τοξεύμασι βαλλόμενοι, τήν τε χελώνην ἐξαπιναίως συνασπίσαντες ἐποίησαν[3], καὶ τὰ γόνατα σφῶν τὰ ἀριστερὰ πρὸς τὴν γῆν ἤρεισαν. Νομίσαντες οὖν αὐτοὺς[4] οἱ βάρβαροι (οὐ γάρ πω τοιοῦτόν τι ἑωράκεσαν) καταπεπτωκέναι τε ὑπὸ τῶν τραυμάτων, καὶ μιᾶς ἐπικοπῆς[5] εἶναι, τὰ μὲν τόξα ἀπέῤῥιψαν, καὶ ἀπὸ τῶν ἵππων ἀπεπήδησαν, τοὺς δ' ἀκινάκας σπασάμενοι, ἐγγὺς σφίσιν ὡς καὶ ἐπισφάξοντες αὐτοὺς προσῆλθον. Κἀν τούτῳ ἐξαναστάντες οἱ Ῥωμαῖοι, πᾶσάν τε ἀπὸ παραγγέλσεως τὴν φάλαγγα ἅμα ἀνέπτυξαν, καὶ τοῖς πλησίοις ἀντιπρόσωποι ὡς ἕκαστοι προσπεσόντες, παμπληθεῖς, οἷα γυμνοὺς ὡπλισμένοι,
II.p.591. ἀπροσδοκήτους παρεσκευασμένοι, τοξότας ὁπλῖται, βαρβάρους Ῥωμαῖοι, κατέκοψαν· ὥστε τοὺς λοιποὺς πάντας παραχρῆμα ἀποχωρῆσαι, καὶ μηκέτι μηδέν' αὐτοῖς[6] ἐπακολουθῆσαι.

30. Ἡ δὲ δὴ χελώνη αὕτη τοιάδε τίς[7] ἐστι, καὶ τόνδε τὸν τρόπον γίγνεται. Τὰ μὲν σκευοφόρα καὶ οἱ ψιλοὶ, οἵ τε ἱππεῖς ἐν μέσῳ τοῦ στρατεύματος τετάχαται· τῶν δ' ὁπλιτῶν οἱ μὲν ταῖς προμηκέσιν ἀσπίσι ταῖς κοίλαις[8] ταῖς σωληνοειδέσι χρώμενοι, περί τε τὰ ἔσχατα, ὥσπερ ἐν

1. Reim. pense qu'il faut lire ἀπέσχον; Odd. avait déjà proposé τούτους τε οὖν ἐπέσχον ou τούτου ἀπέσχοντο, et Reim. déclare cette dernière leçon préférable. G : ἐπέσχοντο; Sturz, s'appuyant sur un passage analogue du ch. 31 du livre L, ajoute, après οὖν, ἕνεκα entre crochets.

osé le faire. Ils s'en abstinrent donc et trouvèrent à leurs maux, par un effet du hasard, le remède que voici. Un jour qu'ils étaient tombés dans une embuscade et assaillis d'une grêle de flèches, ils formèrent tout à coup la tortue avec leurs boucliers réunis, et appuyèrent contre terre leur genou gauche. Les Barbares, s'imaginant alors (ils n'avaient encore rien vu de pareil) que les Romains étaient tombés par suite de leurs blessures, et que ce n'était plus l'affaire que d'un seul coup, jetèrent leurs arcs, sautèrent à bas de leurs chevaux et s'approchèrent, les cimeterres tirés, comme pour les égorger. A ce moment, les Romains s'étant relevés déployèrent, à un commandement donné, la phalange tout entière, et fondant, chacun séparément, droit devant soi sur l'ennemi le plus proche, gens armés contre gens découverts, gens préparés contre gens qui ne s'y attendaient pas, soldats légionnaires contre archers, Romains contre Barbares, ils en firent un si grand carnage que le reste se retira sur-le-champ et cessa désormais de les poursuivre.

30. Voici en quoi consiste la tortue et de quelle manière elle se fait. Les bagages, les soldats légèrement armés et les cavaliers se rangent au milieu; parmi les soldats pesamment armés, ceux qui portent des boucliers creux et courbés en forme de croissant se placent aux extrémités, comme dans un ouvrage en brique, et, les

2. G : καί τοι καί. — 3. Cf. Plut., 45; Florus, IV, 11, 6; Frontin, II, 3, 15.
4. Reim., d'après Xiph. et Zon.; Sturz et Bekk.; vulg. et E, H om.
5. Xiph. : ἐπισκοπῆς. — 6. Bekk.; Reiske et Sturz : μηδένα; vulg. : μηδέν.
7. C : τοιαῦτή τις (*sic*). — 8. K : Κήλαις.

πλινθίῳ τινὶ, τάσσονται, καὶ τοὺς ἄλλους, ἔξω τε[1] βλέποντες[2], καὶ τὰ ὅπλα περιβεβλημένοι, περιέχουσιν· οἱ δ' ἕτεροι οἱ τὰς πλατείας ἀσπίδας[3] ἔχοντες, ἔν τε τῷ μέσῳ συσπειρῶνται[4], καὶ ἐκείνας καὶ ὑπὲρ ἑαυτῶν καὶ ὑπὲρ τῶν ἄλλων ἁπάντων ὑπεραίρουσιν· ὥστε μήτ' ἄλλο τι πλὴν ἀσπίδων διὰ πάσης ὁμοίως τῆς φαλαγγος ὁρᾶσθαι, καὶ ἐν σκέπῃ τῶν βελῶν πάντας αὐτοὺς ὑπὸ τῆς πυκνότητος τῆς συντάξεως γίγνεσθαι. Οὕτω γάρ τοι[5] δεινῶς ἰσχυρίζεται, ὥστε καὶ βαδίζειν τινὰς ἐπάνω[6] αὐτῆς, καὶ προσέτι καὶ ἵππους, καὶ ὀχήματα, ὁσάκις ἂν ἐν κοίλῳ τινὶ καὶ στενῷ γένωνται, ἐνελαύνεσθαι[7]. Τοιοῦτο μὲν δὴ τὸ σχῆμα τῆς τάξεως ταύτης ἐστὶ, καὶ διὰ τοῦτο καὶ τὴν τῆς χελώνης ἐπίκλησιν, πρός τε[8] τὸ ἰσχυρὸν καὶ πρὸς τὸ εὐσκέπαστον αὐτῆς, εἴληφε. Χρῶνται δὲ αὐτῇ διχῇ· ἢ γὰρ πρὸς φρούριόν τι προσμίσγοντες[9] προσπορεύονται[10], καὶ πολλάκις καὶ ἐπ' αὐτὸ τὸ τεῖχος ἀναβιβάζουσί τινας[11], ἢ ὑπὸ τοξοτῶν ποτε περιστοιχισθέντες[12], κυπτάζουσι πάντες ἅμα (καὶ γὰρ καὶ[13] οἱ ἵπποι ὀκλάζειν καὶ κατακλίνεσθαι διδάσκονται), κἀν τούτῳ[14] δύκησιν σφίσιν ὡς καὶ κεκμηκότες παρασχόντες, ἐξεγείρονταί τε, πελασάντων

1. H om. — 2. Paulmier : ἔξω τῶν βελῶν ὄντας, bien qu'il reconnaisse que la vulgate offre un bon sens.

3. D'après Fabricius, approuvé par Sturz, Dion, au lieu d'ἀσπίδας, aurait dû employer θυρεούς.

4. Zonaras, Reiske, Wesseling, Reim. (*Addenda*), Sturz et Bekk., leçon qui se trouve aussi dans G. A ces autorités on peut ajouter celle de Lobeck, Eclog. de Phrynicus, p. 205. Vulg. : συσπείρονται; C, H : συσπείροντες. — 5. Reiske : τι.

regards dirigés au dehors des rangs, couverts de leurs armes, enveloppent les autres ; ceux qui ont des boucliers larges se serrent au milieu et les tiennent élevés au-dessus de leurs têtes et au-dessus de celles de leurs compagnons ; en sorte que, par toute la phalange uniformément, on ne voit rien que des boucliers, et que tous les soldats, tellement leurs rangs sont serrés, sont à l'abri des traits. Cette tortue offre une force de résistance tellement grande que des hommes marchent dessus, et que même des chevaux et des chars y circulent, toutes les fois qu'on se trouve dans un lieu creux et étroit. Telle est la figure de cette manœuvre, et c'est pour cela, c'est-à-dire à cause de sa résistance et de son ensemble compacte, qu'on lui a donné le nom de tortue. Les Romains l'emploient dans deux cas différents, soit quand ils marchent à l'attaque d'une forteresse, et souvent même, alors, par son moyen, ils font monter des soldats jusque sur le mur ; soit lorsque, investis d'un cercle d'archers, ils se baissent tous à la fois (les chevaux mêmes sont dressés à s'agenouiller et à se coucher), donnant ainsi à croire à l'ennemi qu'ils sont épuisés, puis se relèvent soudainement à son approche,

6. Xiph., Zon., Reim. et Sturz ; vulg., les mss. et Bekk. : ἐπάνωθεν.
7. Xiph. : ἐλαύνεσθαι. — 8. G om. : καὶ διὰ τοῦτο... πρός τε.
9. Reim. (*Addenda*) : « Si tamen ordinem actionum desideres, possis προσμίξοντες scribere. »
10. Reim., Sturz et Bekk., d'après Zon., Coisl. et Br. ; vulg., E et les éditions de Xiph. : προπορεύονται. — 11. G : τινες.
12. H, Coisl. et Br. : περιστοιχηθέντες. — 13. Vulg. om. — 14. Bekk., en note : κἀκ τούτου.

αὐτῶν, ἐξαίφνης, καὶ ἐς ἔκπληξιν σφᾶς καθιστᾶσιν. Ἡ μὲν οὖν χελώνη αὕτη τοιουτότροπός ἐστιν.

31. Ἀντώνιος δὲ ὑπὸ μὲν τῶν πολεμίων οὐκέτ' οὐδὲν δεινὸν ἔπαθεν, ὑπὸ δὲ δὴ τοῦ ψύχους ἰσχυρῶς[1] ἐταλαιπώρησε· χειμών τε γὰρ ἤδη ἦν, καὶ ἡ Ἀρμενία ἡ ἐν τοῖς ὄρεσι, δι' ὧνπερ καὶ μόνων ἀγαπητῶς ἐπορεύθη, κρυσταλλώδης ἀεί ποτέ ἐστι. Τά τε τραύματα, ἃ πολλὰ εἶχον, ἐνταῦθα δὴ καὶ μᾶλιστα αὐτοῖς συνεπέθετο. Ὅθεν περ συχνῶν μὲν ἀπολλυμένων[2], συχνῶν δὲ καὶ ἀπομάχων γιγνομένων, οὐκ ἤνεγκε τὴν καθ' ἕκαστον αὐτῶν πύστιν[3], ἀλλ' ἀπηγόρευσε[4] μηδὲν τοιοῦτο μηδένα οἱ ἀγγέλλειν. Καὶ τόν τε Ἀρμένιον, καίτοι ἐν ὀργῇ τε, ὅτι ἐγκατέλιπε σφᾶς[5], ἔχων, καὶ τιμωρήσασθαι ἐπιθυμῶν, καὶ ὑπῆλθε καὶ ἐθεράπευσεν, ἵνα τά τε ἐπιτήδεια καὶ χρήματα παρ' αὐτοῦ
R. p. 592. λάβῃ· καὶ τέλος, ὡς οὔτ' ἀρκέσαι πρὸς πλείω πορείαν οἱ στρατιῶται, καὶ ταῦτ' ἐν χειμῶνι[6], ἐδύναντο, καὶ ἅμα καὶ μάτην ταλαιπωρήσειν ἔμελλον (ὑποστρέψαι γὰρ ἐς τὴν Ἀρμενίαν οὐκ ἐς μακρὰν ἐνενόει), πολλὰ μὲν ἐξεθώπευσεν[7] αὐτὸν, πολλὰ δὲ καὶ καθυπέσχετο αὐτῷ, ὅπως σφίσι χειμάσαι κατὰ χώραν ἐπιτρέψῃ· λέγων ὅτι τῷ ἦρι[8] ἐπὶ τοὺς Πάρθους αὖθις ἐπιστρατεύσει[9]. Καί οἱ καὶ παρὰ τῆς Κλεοπάτρας χρήματα ἦλθεν, ὥστε τοῖς τε ὁπλίταις καθ' ἕκα-

1. A, B et Bekk.; vulg. : δεινῶς.
2. Cf. Plutarque (Ant. 50); Florus, IV, 10; Justin, XLII, 5; l'Epitomé de Tite-Live, CXXX. — 3 B : πίστιν — 4. B, C, G : ἀλλὰ ἀπηγόρευσε.
5. Cf. ch. 25.

et le frappent d'épouvante. Telle est la manière dont se fait la tortue.

31. Antoine désormais n'eut plus rien à souffrir de la part de l'ennemi; mais le froid le rendit fort malheureux. On était déjà en hiver, et les montagnes d'Arménie, qui seules lui livraient à grand'peine un chemin, sont perpétuellement couvertes de glace. Les blessures, qui étaient nombreuses, furent surtout funestes. Aussi, comme il périssait beaucoup de soldats et que beaucoup devenaient incapables de combattre, il ne supporta plus d'en être informé en détail, et défendit que personne lui annonçât rien de pareil. Quoique irrité contre le roi d'Arménie, qui l'avait abandonné, et plein du désir d'en tirer vengeance, il le ménagea cependant et le flatta, afin de tirer de lui des vivres et de l'argent. Enfin, les soldats se trouvant hors d'état de supporter un plus long trajet, surtout au milieu de l'hiver, et en même temps leurs souffrances ne devant amener aucun résultat (son intention était de retourner bientôt en Arménie), il fit au roi force caresses, force promesses, pour obtenir la permission de passer l'hiver dans ses États, prétextant qu'il marcherait de nouveau contre les Parthes au printemps. Il lui vint de l'argent de la part de Cléopâtre, ce qui lui permit de donner trente-cinq drach-

6. G : ταῦθ' ἐν χειμῶνι. — 7. H : ἐθώπευε.

8. A, G : ἦρει; C : τῇ ἦρι.

9. Après le mot ἐπιστρατεύσει, il y a, selon Reiske, une lacune que personne n'a signalée.

στον δραχμὰς πέντε καὶ τριάκοντα[1], καὶ τοῖς ἄλλοις τὸ ἱκνούμενον δοθῆναι. Ἐπειδή τε οὐκ ἐξήρκεσε σφίσι τὰ πεμφθέντα, προσεπέδωκε[2] τοῖς λοιποῖς οἴκοθεν[3], τὸ μὲν ἀνάλωμα, ἑαυτοῦ, τὴν δὲ δὴ τῆς χάριτος δόξαν, τῆς Κλεοπάτρας ποιούμενος[4]· πολλὰ μὲν γὰρ καὶ τοὺς φίλους ἠράνισε, πολλὰ δὲ καὶ παρὰ τῶν συμμάχων ἠργυρολόγησε. Καὶ ὁ μὲν, ταῦτα πράξας, ἐς τὴν Αἴγυπτον ἀπῆρεν.

32. Οἱ δὲ δὴ[5] οἴκοι Ῥωμαῖοι ἠγνόουν μὲν οὐδὲν τῶν γεγονότων, οὐχ ὅτι τἀληθὲς ἐκεῖνος ἐπέστειλε σφίσι (πάντα γὰρ δὴ τὰ δυσχερῆ συνέκρυπτε[6], καὶ ἔστιν ἃ γε αὐτῶν καὶ[7] ἐς τὸ ἐναντιώτατον, ὡς καὶ εὐπραγῶν, ἔγραφεν), ἀλλ' ὅτι ἥ τε φήμη τὴν ἀλήθειαν ἐσήγγελλε, καὶ ὁ Καῖσαρ οἵ τε ἄλλοι οἱ συνόντες αὐτῷ καὶ ἐπολυπραγμόνουν ἀκριβῶς αὐτὰ καὶ διεθρύλουν· οὐ μέντοι καὶ ἐν τῷ κοινῷ διηλεγχον, ἀλλὰ καὶ ἐβουθύτουν καὶ ἐώρταζον· τοῦ γὰρ Καίσαρος πρὸς τὸν[8] Σέξτον ἔτι καὶ τότε προσπταίοντος, οὔτε εὐπρεπὴς οὔτε ἐπίκαιρος ὁ ἔλεγχος αὐτῶν γίγνεσθαι ἐδύνατο. Ὁ δ' οὖν Ἀντώνιος ταῦτά τε οὕτως ἔπραξε, καὶ δυναστείας Ἀμύντᾳ[9] μὲν Γαλατίας, καίπερ γραμματεῖ τοῦ Δηϊοτάρου γενομένῳ, ἔδωκε, καὶ Λυκαονίας Παμφυλίας τέ τινα αὐτῷ προσθεὶς, Ἀρχελάῳ δὲ Καππαδοκίας, ἐκβαλὼν τὸν Ἀριαράθην. Ὁ δ' Ἀρχέλαος οὗτος, πρὸς μὲν πατρὸς, ἐκ τῶν Ἀρχελάων ἐκείνων τῶν τοῖς Ῥωμαίοις ἀν-

1. B, G om. : πέντε καὶ τριάκοντα. — 2. C : προεπέδωκε. — 3. K : οἴκοθε
4. Vulg., E, H : προσποιούμενος.
5. B om. — 6. C : ἐπέκρυπτε. — 7. B om. — 8 B, C et Bekk.; vulg. om.

mes à chaque soldat légionnaire, et aux autres la part qui leur revenait. Les sommes envoyées n'ayant pas suffi, il ajouta le reste de ses propres deniers, attribuant à lui-même la dépense, et à Cléopâtre la gloire du bienfait; car il imposa de fortes contributions à ses amis et leva de fortes taxes sur les alliés. Cela fait, il partit pour l'Égypte.

32. A Rome, on n'ignorait rien de ce qui s'était passé, non qu'Antoine, par ses rapports, y fît connaître la vérité (il cachait tous ses revers, et même, parfois, écrivait dans un sens tout opposé, comme s'il eût obtenu des avantages); mais la renommée annonçait ce qui était vrai, et César et ses partisans mettaient tous leurs soins à être exactement instruits des événements, et les divulguaient, bien qu'en public, loin d'accuser Antoine, ils immolassent des victimes et célébrassent des fêtes; car César étant encore tenu en échec par Sextus, l'accusation ne pouvait être ni convenable ni opportune. Tels furent les actes d'Antoine, et, de plus, il donna à Amyntas, un ancien secrétaire de Déjotarus, la souveraineté de la Galatie, à laquelle il joignit une portion de la Lycaonie et de la Pamphylie; et à Archélaüs celle d'une partie de la Cappadoce, d'où il avait chassé Ariarathe. Cet Archélaüs, du côté paternel, descendait de ces Archélaüs qui avaient fait la guerre

9. Celui à qui se rendit Sextus, suivant le témoignage d'Appien. Sur ce personnage, comme sur Archélaüs et Ariarathe, je renvoie, avec Reimarus, au tome III de Reineccius, *Historia Julia*.

τιπολεμησάντων ἦν, ἐκ δὲ μητρὸς ἑταίρας Γλαφύρας[1] ἐγεγέννητο[2]. Οὐ μὴν ἀλλ' ἐπὶ μὲν τούτοις ἧττόν πως ὁ Ἀντώνιος (ἐν γὰρ τοῖς ἀλλοτρίοις ἐμεγαλοφρονεῖτο[3]) κακῶς παρὰ τοῖς πολίταις ἤκουεν· ἐπὶ δὲ δὴ τῇ Κλεοπάτρᾳ[4] μεγάλως διεβλήθη, ὅτι τε παῖδας ἐξ αὐτῆς, πρεσβυτάτους[5] μὲν, Ἀλέξανδρον καὶ Κλεοπάτραν[6] (καὶ δίδυμοι γὰρ ἐτέχθησαν) νεώτατον δὲ, Πτολεμαῖον[7], τὸν καὶ[8] Φιλάδελφον ἐπικληθέντα, ἀνείλετο· καὶ ὅτι πολλὰ μὲν τῆς Ἀραβίας[9], τῆς τε Μάλχου, καὶ τῆς τῶν Ἰτυραίων (τὸν
R. p. 595. γὰρ Λυσανίαν[10], ὃν αὐτὸς βασιλέα σφῶν ἐπεποιήκει, ἀπέκτεινεν ὡς τὰ τοῦ Πακόρου πράξαντα), πολλὰ δὲ καὶ[11] τῆς Φοινίκης, τῆς τε Παλαιστίνης, Κρήτης τέ τινα, καὶ Κυρήνην, τήν τε Κύπρον αὐτοῖς ἐχαρίσατο. Τότε μὲν ταῦτα ἔπραξε[12].

33. Τῷ δ' ἐχομένῳ[13] ἔτει, ὅτε[14] Πομπηΐος καὶ ὁ Κορνουφίκιος ὑπάτευσαν, στρατεῦσαι ἐπὶ τὸν Ἀρμένιον ἐπεχείρησεν, ἐλπίδα τοῦ Μήδου οὐκ ἐλαχίστην ἔχων, ὅτι πρός τε τὸν Φραάτην ἀγανακτήσας, ἐπὶ τῷ[15] μήτε τῶν λαφύρων πολλὰ παρ' αὐτοῦ, μήτ' ἄλλην τινὰ τιμὴν λα-

1. Celle dont il est question dans Martial, XI, 21. — 2. C : ἐγένετο.

3. J'ai suivi le sens donné par la version latine : *de alieno liberalis erat;* on pourrait peut-être donner à la phrase un sens général et traduire : « On aimait à se montrer généreux. »

4. Peir. : ὅτι ὁ Ἀντώνιος ἐπὶ τῇ Κλεοπάτρᾳ.

5. Bekk. : πρεσβυτέρους et, plus bas, νεώτερον.

6 D'après la Chronique d'Eusèbe, ces enfants, qui avaient reçu le nom de Soleil et de Lune, furent menés devant le char de triomphe du vainqueur d'Actium.

contre les Romains, et, du côté maternel, de la courtisane Glaphyra. Ce fut là cependant (sa munificence s'exerçait aux dépens des étrangers) ce qui contribua le moins à la mauvaise réputation d'Antoine près de ses concitoyens; mais Cléopâtre lui attira une haine violente, parce qu'il élevait des enfants qu'il avait d'elle, les deux aînés, Alexandre et Cléopâtre (ils étaient jumeaux), et le plus jeune, Ptolémée, qui fut surnommé Philadelphe; et aussi parce qu'il leur concéda une grande partie de l'Arabie, tant de celle qui appartenait à Malchus que de celle qui appartenait aux Ituréens (il fit périr, comme ayant favorisé Pacorus, Lysanias, qu'il avait lui-même établi roi de ce pays), une grande partie de la Phénicie et de la Palestine, et une portion de la Crète, Cyrène et Cypre. Voilà ce que fit alors Antoine.

33. L'année suivante, sous le consulat de Pompée et de Cornificius, il entreprit une expédition contre le roi d'Arménie, mettant de grandes espérances dans le roi des Mèdes, parce que ce prince, irrité contre Phraate dont il n'avait reçu ni une part considérable de dépouilles, ni aucun autre honneur, et animé du désir

7. Ce Ptolémée, de même qu'Alexandre et Cléopâtre (LI, 51), eurent la vie sauve. Au ch. 41 de ce livre, il est parlé d'un autre Ptolémée, fils de César et de Cléopâtre, surnommé Césarion. — 8. Peir. om.

9. Xylander traduit *Arabiæ Nabatex;* c'était, en effet, la partie de l'Arabie qui obéissait à Malchus.

10. Peir.: Σαλανίαν. — 11. Peir. om. — 12. A, C, G : ταῦτ' ἔπραξε.

13. A, C, G : τῷ δὲ ἐχομένῳ.

14. Bekk. propose en note : ἐν ᾧ ὅ τε. Cette conjecture ne manque pas de vraisemblance. — 15. G : τό.

δεῖν, καὶ τὸν Ἀρμένιον τιμωρήσασθαι τῆς τῶν Ῥωμαίων ἐπαγωγῆς ἐθελήσας, τὸν Πολέμωνα αὐτῷ προσέπεμψε, καὶ φιλίαν καὶ συμμαχίαν αἰτῶν. Οὕτω γάρ που ὑπερήσθη τῷ πράγματι, ὥστε καὶ ἐκείνῳ σπείσασθαι, καὶ τῷ Πολέμωνι μισθὸν τῆς κηρυκείας τὴν μικροτέραν Ἀρμενίαν μετὰ ταῦτα δοῦναι. Τὸν δ' οὖν Ἀρμένιον πρότερον μὲν ἐς τὴν Αἴγυπτον, ὡς καὶ φίλον, καὶ ὡς[1] ἐνταῦθα αὐτὸν ἀπόνως περιλαβὼν κατεργάσηται, μετεπέμψατο· ἐπεὶ δ' ὑποτοπήσας[2] τοῦτ', οὐχ ὑπήκουσεν, ἕτερόν τινα τρόπον ἐξαπατῆσαι ἐπεβούλευσε[3]. Φανερῶς μὲν γὰρ οὐκ ὠργίζετο αὐτῷ, μὴ καὶ πολεμωθείη· ὡς δ' ἐπὶ τοὺς Πάρθους καὶ τότε στρατεύσων, ἵν' ἀπαράσκευον[4] αὐτὸν εὕρῃ, ἦρε μὲν ἐκ τῆς[5] Αἰγύπτου, μαθὼν δὲ καθ' ὁδὸν τὴν Ὀκταουΐαν ἀπὸ τῆς Ῥώμης ἀφικνεῖσθαι, οὐκέτι περαιτέρω προεχώρησεν[6], ἀλλ' ἀνεκομίσθη[7] καίτοι καὶ[8] παραυτίκα οἴκαδε αὐτῇ ἐπανελθεῖν κελεύσας, καὶ μετὰ τοῦτο τὰ δῶρα τὰ πεμφθέντα παρ' αὐτῆς, τά τε ἄλλα, καὶ τοὺς στρατιώτας, οὓς παρὰ τοῦ ἀδελφοῦ ἐπ' αὐτὸ τοῦτο ᾐτήκει, λαβών. Καὶ ὁ μὲν ἔτι καὶ[9] μᾶλλον τῷ τε[10] ἔρωτι καὶ τῇ γοητείᾳ[11] τῇ[12] τῆς Κλεοπάτρας ἐδούλευε.

34. Καῖσαρ δὲ ἐν τούτῳ, ἐπειδὴ ὅ τε Σέξτος ἀπολώλει, καὶ τὰ ἐν τῇ Λιβύῃ καταστάσεως ἐδεῖτο, ἦλθε μὲν ἐς τὴν Σικελίαν, ὡς καὶ ἐκεῖσε πλευσούμενος· ἐγχρονίσας

1. Bekk., en note : ὅπως, au lieu de καὶ ὡς. — 2. C : ἐπεὶ δὲ ὑποτοπήσας.
3. Reim. (*Addenda*) : ἐβούλευσε. — 4. Bekk.; vulg. : ἵνα ἀπαράσκευον.
5. Vulg., E et H : ἦρε μὲν γὰρ ἐκ τῆς. — 6. C, H : προσεχώρησεν.

de se venger de l'Arménien qui avait amené les Romains, avait envoyé Polémon lui demander son amitié et son alliance. Antoine conçut de cette circonstance une joie tellement grande qu'il conclut un traité avec le Mède, et plus tard donna la Petite Arménie à Polémon, en récompense de cette ambassade. Il commença par inviter l'Arménien, comme un ami, à le venir trouver en Égypte, où il pensait se défaire de lui sans peine, en s'emparant de sa personne ; mais celui-ci, soupçonnant ce dessein et n'ayant pas déféré à l'invitation, il imagina une autre manière de le tromper. Il ne laissa point paraître sa colère contre lui, de peur d'allumer la guerre, et, feignant de marcher de nouveau contre les Parthes, afin de le prendre au dépourvu, il quitta l'Égypte ; mais ayant, chemin faisant, appris qu'Octavie arrivait de Rome, il n'alla pas plus loin et revint sur ses pas, bien qu'il lui eût ordonné de retourner immédiatement chez elle, et qu'il eût reçu les présents qu'elle lui envoyait, et, entre autres, les soldats qu'elle avait demandés à son frère pour cette expédition. Il était plus que jamais dominé par son amour et par les charmes de Cléopâtre.

34. Quant à César, comme, dans cet intervalle, Sextus était mort et que la Libye avait besoin d'être pacifiée, il se rendit en Sicile, dans l'intention de passer de

7. A, C, G : ἀλλὰ ἀναχομίσθη. — 8. Bekk. ; vulg. om.
9. Peir. : Ὅτι ὁ Ἀντώνιος ἔτι καί. — 10. Peir. om.
11. Peir. : γοτείᾳ. — 12. Peir. et G om.

δὲ ἐνταῦθα ὑπὸ τοῦ χειμῶνος, οὐκέτι ἐπεραιώθη. Οἵ τε γὰρ Σάλασσοι, καὶ οἱ Ταυρίσκοι, Λιβυρνοί τε, καὶ Ἰάπυδες[1], οὐδὲν μὲν οὐδὲ ἐκ τοῦ πρὶν μέτριον ἐς τοὺς Ῥωμαίους ἔπρασσον[2], ἀλλὰ τήν τε συντέλειαν τῶν φόρων ἐξέλιπον, καὶ ἐσβάλλοντες[3] ἔστιν ὅτε ἐς τὰ ὁμοροῦντα σφίσιν ἐκακούργουν· τότε δὲ φανερῶς πρὸς τὴν ἀπουσίαν
R.p.594. αὐτοῦ ἐπανέστησαν. Δι' οὗν τοῦτ' ἀναστρέψας, τά τε ἄλλα ἐπ' αὐτοὺς παρεσκευάσατο, καὶ ἐπειδή τινες τῶν ἀφεθέντων ὅτε ἐστασίασαν[4], καὶ μηδὲν λαβόντων, στρατεύσασθαι αὖθις ἠθέλησαν, ἐς ἓν σφᾶς στρατόπεδον κατεχώρισεν, ἵνα ἰδίᾳ[5] καὶ καθ' ἑαυτοὺς ὄντες, μήτε προσδιαφθείρωσί τινα, κἂν ἄρα νεωτερίσαι τι βουληθῶσιν, ἔκδηλοι παραχρῆμα γένωνται. Ὡς δ' οὐδὲν μᾶλλον ἐσωφρονίσθησαν[6], ὀλίγους ἐξ αὐτῶν τοὺς πρεσβυτάτους ἐς Γαλατίαν κληρουχήσοντας ἔπεμψε· νομίσας καὶ τοὺς ἄλλους ἐκ τούτου καὶ ἐπελπίσειν[7] καὶ καταστήσειν. Ἐπεὶ δὲ καὶ ὧς ἐθρασύνοντο, δίκῃ τινὰς αὐτῶν ἔδωκε· παροξυθέντων τε ἐπὶ τούτῳ τῶν λοιπῶν, συνεκάλεσέ τε αὐτοὺς ὡς καὶ ἐπ' ἄλλο τι, καὶ περισχὼν τῷ στρατῷ, τά τε ὅπλα ἀφείλετο[8], καὶ τῆς στρατείας ἔπαυσε. Καὶ οὕτω τήν τε ἑαυτῶν ἀσθένειαν ἅμα

1. Xyl. et les édit. subséq.; E, H: Ἰάπυγες. — 2. Xyl., Reim. (*Addenda*), Sturz et Bekk.; vulg. : ἐσέπρασσον. Sturz : « Mallem vero ἔπραττον. »

3. Correction de Xyl., adoptée par Reim., Sturz et Bekk., au lieu de ἐσβάλλοντα, et confirmée par les mss.

4. Bekk.; Leuncl. : ἀφεθέντων ὅτι ἐστασίασαν; vulg. : ἀφεθέντων τε ἐστίασαν. Reim., et c'est aussi l'avis de Reiske, voudrait lire λαβόντες au lieu de λαβόντων. Sturz, après Reiske, déclare cette correction insuffisante si l'on ne change pas τε en τότε; de plus, avec le même, il ajoute οὐκ devant

là dans cette contrée; mais, attardé par la tempête, il renonça à effectuer la traversée. En effet, les Salasses, les Taurisques, les Liburnes et les Iapydes, qui, déjà auparavant, loin de se bien conduire avec les Romains, refusaient de payer les tributs, et même quelquefois portaient, par des incursions, le ravage dans le voisinage, profitèrent de son absence pour se soulever ouvertement. César, rappelé en arrière par cette révolte, fit donc ses préparatifs pour marcher contre eux; et, quelques-uns des soldats congédiés sans gratification à la suite de leur soulèvement ayant consenti à reprendre du service, il en forma une légion à part, afin qu'isolés et réduits à eux seuls, ils ne corrompissent personne, et que, s'ils tentaient quelque mouvement, on s'en aperçût aussitôt. Comme ils n'étaient pas plus sages pour cela, il envoya un petit nombre des plus âgés dans les colonies de la Gaule, pensant donner ainsi des espérances aux autres et les apaiser. Cette mesure n'ayant pas arrêté leur audace, il en livra plusieurs au supplice; puis, voyant le reste exaspéré par cette exécution, il les convoqua comme s'il se fût agi d'autre chose, et, après les avoir fait cerner par ses troupes, il leur enleva leurs armes et les licencia. Comprenant alors leur faiblesse et la fer-

ἠθέλησαν, se fondant sur ce que dit un peu plus bas notre auteur. Reiske (cf. Sturz, t. VII) propose encore d'autres conjectures, mais c'est refaire le texte et non le corriger. H om. : τε. J'ai adopté la leçon de Bekk., conforme aux faits rapportés à la fin du ch 13.

5. G, K : ἐν' ἰδίᾳ. — 6. Devant ce mot, G insère τοὺς πρεσβυτάτους, ce qui ne l'empêche pas de le répéter plus bas.

7. Robert Étienne, en note, Xyl., Sturz et Bekk ; vulg., Reim. et les mss : ἐλπίσειν. — 8. A, G : ἀφείλατο.

καὶ[1] τὸ τοῦ Καίσαρος φρόνημα μαθόντες, ἀληθῶς τε μετεβάλοντο[2], καὶ πολλὰ αὐτὸν ἱκετεύσαντες, ἀνεστρατεύσαντο. Ὁ γὰρ Καῖσαρ, στρατιωτῶν τε δεόμενος, καὶ φοβηθεὶς μὴ καὶ ὁ Ἀντώνιος αὐτοὺς σφετερίσηται, συγγινώσκειν τε σφίσιν ἔφη, καὶ χρησιμωτάτους πρὸς πάντα[3] αὐτοὺς ἔσχε. Τοῦτο μὲν ὕστερον ἐγένετο.

35. Τότε δὲ τοὺς μὲν ἄλλους ἑτέροις τισὶ καταστρέψασθαι προσέταξεν, αὐτὸς δὲ ἐπὶ τοὺς Ἰάπυδας[4] ἐστράτευσε. Καὶ τοὺς μὲν ἐντὸς[5] τῶν ὀρῶν, οὐ πάνυ πόρρω τῆς θαλάσσης, οἰκοῦντας, ἀπονώτερον προσηγάγετο· τοὺς δὲ ἐπί τε τῶν ἄκρων, καὶ ἐς τὰ ἐπὶ θάτερα αὐτῶν, οὐκ ἀταλαιπώρως ἐχειρώσατο. Τὸ γὰρ Μέτουλον[6], τὴν μεγίστην σφῶν πόλιν, κρατυνάμενοι, πολλὰς μὲν προσβολὰς τῶν Ῥωμαίων ἀπεκρούσαντο, πολλὰ δὲ μηχανήματα κατέφλεξαν· αὐτόν τε ἐκεῖνον ἀπὸ πύργου τινὸς ξυλίνου ἐπιβῆναι τοῦ περιβόλου πειρώμενον κατέτρωσαν[7]. Καὶ τέλος, ὡς[8] οὐδὲν μᾶλλον ἀπανίστατο, ἀλλὰ καὶ δυνάμεις προσμετεπέμπετο, συμβῆναί τε βουλεσθαι ἐπλάσαντο, καὶ φρουροὺς ἐς τὴν ἄκραν ἐσδεξάμενοι[9], ἐκείνους τε τῆς νυκτὸς ἅπαντας ἔφθειραν, καὶ τὰς οἰκίας ἐνέπρησαν· καὶ οἱ

1. G om. — 2. B : μετεβάλλοντο. — 3. H : πάντας.
4. G, H : Ἰάπυγας. — 5. Reimarus : « An ἐκτός? »
6. A, B, C, G, K : Μέτριον ; H : Μέτρων.
7. Au témoignage de Suétone (20), César fut blessé deux fois dans cette guerre : « Dalmatico [bello] vulnera excepit, una acie dextrum genu lapide ictus [au siége de la ville appelée Sétovie par Appien, Affaires d'Illyrie], altera et crus et utrumque brachium ruina pontis consauciatus. » Florus,

meté de César, ils changèrent réellement de sentiments et obtinrent de lui, à force de prières, la permission de reprendre du service. César, en effet, qui avait besoin de soldats et craignait qu'Antoine ne se les attachât, déclara qu'il leur pardonnait, et tira bon parti d'eux en toutes circonstances. Mais cela n'eut lieu que plus tard.

35. Pour le moment, César confia à des lieutenants le soin de soumettre les autres peuples, et marcha lui-même contre les Iapydes. Il vint à bout assez facilement de ceux qui habitaient en deçà des montagnes, près de la mer; mais ce ne fut pas sans peine qu'il dompta les habitants des sommets et des versants. Retranchés dans Métule, la plus grande de leurs villes, ils repoussèrent plusieurs assauts des Romains et leur brûlèrent plusieurs machines; César lui-même fut blessé en essayant de sortir d'une tour de bois pour monter sur le mur d'enceinte. A la fin, comme, loin de se retirer, César faisait venir des renforts, ils feignirent de vouloir entrer en accommodement, reçurent dans leur citadelle une garnison qu'ils égorgèrent tout entière pendant la nuit, et mirent le feu à leurs maisons; puis, les uns se tuèrent

An de Rome 719. Ser. Pompée et L. Cornéli. cins consuls.

IV, 12, s'exprime ainsi à propos de la seconde blessure : « Cunctanti ad ascensum militi scutum de manu rapuit, et viam primus ingressus est. Tum agmine secuto quum subrutus multitudine pons succidisset, saucius manibus et cruribus..... » Dion parle de la seconde blessure au ch. 38. G : κατέστρωσαν.

8. B, G et Bekk.; de même C qui, en plus, porte οὐδὲ au lieu de οὐδέν; vulg. : ἐπειδή. — 9. B : ἐκδεξάμενοι.

μὲν ἑαυτοὺς, οἱ δὲ καὶ τὰς γυναῖκας τά τε παιδία προσαπέκτειναν, ὥστε μηδ' ὁτιοῦν ἀπ' αὐτῶν τῷ Καίσαρι περι-
R.p.595. γενέσθαι. Οὐ γὰρ ὅτι ἐκεῖνοι, ἀλλὰ καὶ οἱ ζωγρηθέντες σφῶν, ἑκούσιοι οὐ πολλῷ ὕστερον ἐφθάρησαν.

36. Ἐπεὶ δ' οὖν οὗτοί τε ἀπολώλεσαν, καὶ οἱ ἄλλοι κατεστράφατο[1], μηδὲν ἀξιόλογον πράξαντες, ἐπὶ Παννονίους ἐπεστράτευσεν[2]· ἔγκλημα μὲν οὐδὲν αὐτοῖς ἐπιφέρων[3] (οὐδὲ γὰρ οὐδ'[4] ἠδίκητό τι ὑπ' αὐτῶν), ἵνα δὲ δὴ τοὺς στρατιώτας ἀσκῇ τε ἅμα, καὶ ἐκ τῶν ἀλλοτρίων τρέφῃ, πᾶν τὸ τῷ κρείττονι τοῖς ὅπλοις ἀρέσκον[5] δίκαιον ἐς τοὺς ἀσθενεστέρους ποιούμενος. Οἱ δὲ δὴ Παννόνιοι νέμονται μὲν πρὸς τῇ Δελματίᾳ[6], παρ' αὐτὸν τὸν Ἴστρον, ἀπὸ Νωρικοῦ μέχρι τῆς Μυσίας τῆς ἐν τῇ Εὐρώπῃ· κακοβιώτατοι δὲ ἀνθρώπων ὄντες (οὔτε γὰρ γῆς, οὔτε ἀέρων εὖ[7] ἤκουσιν· οὐκ ἔλαιον, οὐκ οἶνον, πλὴν ἐλαχίστου καὶ τούτου κακίστου, γεωργοῦσιν, ἅτε ἐν χειμῶνι πικροτάτῳ τὸ πλεῖστον διαιτώμενοι, ἀλλὰ τάς τε κριθὰς καὶ τοὺς κέγχρους καὶ ἐσθίουσιν ὁμοίως καὶ πίνουσιν), ἀνδρειότατοι δ' οὖν διὰ πάντων ὧν ἴσμεν[8] νομίζονται· θυμικώτατοι γὰρ καὶ φονικώτατοι, οἷα μηδὲν ἄξιον τοῦ καλῶς[9] ζῆν

1. C : κατεστράφαντο.

2. B et Bekk. ; vulg. : ἐστράτευσεν. Suétone (20) donne à entendre que César fit plusieurs guerres en Pannonie. L'Épitomé de Tite-Live, CXXXI, joint à cette première guerre de Pannonie la soumission des Dalmates et des Iapydes dont il triompha plus tard (LI, 21).

3. « Nec ulli genti sine justis et necessariis causis bellum intulit. » Ces paroles de Suétone (21) doivent s'entendre de l'empereur et non du

eux-mêmes, les autres égorgèrent leurs femmes et leurs enfants; de telle sorte qu'il ne resta rien à César, car non-seulement eux, mais encore ceux qui avaient été pris vifs, se donnèrent volontairement la mort peu de temps après.

36. Après la destruction de ce peuple et la soumission des autres, qui ne firent rien de mémorable, il marcha contre les Pannoniens, non qu'il eût quelque grief à leur reprocher (il n'avait reçu d'eux aucune injure), mais simplement pour exercer ses soldats et les nourrir aux dépens d'autrui, regardant comme juste, à l'égard des faibles, tout ce qui plaisait à celui qui avait la supériorité des armes. Les Pannoniens habitent un pays proche la Dalmatie, le long des bords mêmes de l'Ister, depuis la Norique jusqu'à la Mysie d'Europe. Leur existence, la plus misérable qui puisse être au monde (ils ne sont favorisés ni du côté du sol, ni du côté du climat; ils ne tirent de leur territoire ni huile ni vin, sinon en petite quantité, et encore du vin détestable, attendu que la plus grande partie de la vie s'écoule pour eux au milieu d'un hiver très-âpre, mais seulement de l'orge et du millet dont ils font leur nourriture et leur boisson), leur a valu de passer pour les plus vaillants des peuples que nous connaissions. Ils sont, en effet, très-enclins à la colère et au meurtre, comme gens que rien n'encourage à vivre avec honneur. Je con-

triumvir; dès lors il n'y a pas contradiction entre Suétone et Dion.

4. C om. — 5. H om.

6. Sturz (cf. sa note) et Bekk.; vulg.: Δαλματίᾳ.

7. Gron., d'après A (de même H) et les édit. subséq.; vulg. om.

8. Reiske voudrait supprimer ὧν ἴσμεν.

9. Reiske pense qu'il faut ou supprimer καλῶς, ou lire τοῦ καὶ βούλεσθαι au lieu de τοῦ καλῶς.

ἔχοντες, εἰσί. Ταῦτα δὲ οὐκ ἀκούσας οὐδ' ἀναγνοὺς μόνον, ἀλλὰ καὶ ἔργῳ μαθὼν, ὡς γε[1] καὶ ἄρξας αὐτῶν, οἶδα· μετὰ γάρ τοι[2] τὴν ἐν τῇ Ἀφρικῇ ἡγεμονίαν, τῇ τε Δελματίᾳ, ἧς ποτὲ καὶ ὁ πατήρ μου χρόνον τινὰ ἦρξε, καὶ τῇ Παννονίᾳ τῇ ἄνω καλουμένῃ προσετάχθην· ὅθεν ἀκριβῶς πάντα τὰ κατ' αὐτοὺς εἰδὼς γράφω. Ὀνομάζονται δὲ οὕτως, ὅτι τοὺς χιτῶνας τοὺς χειριδωτοὺς ἐξ ἱματίων τινῶν ἐς πάννους ἐπιχωρίως πως καὶ κατατέμνοντες καὶ προσαγορεύοντες συῤῥάπτουσι. Καὶ οἱ μὲν εἴτ' οὖν διὰ τοῦτο, εἴτε καὶ δι' ἄλλο τι, οὕτως ὠνομάδαται[3]· τῶν δὲ δὴ Ἑλλήνων τινὲς, ταλῃθὲς ἀγνοήσαντες, Παίονας σφᾶς προσεῖπον, ἀρχαίου μέν που τοῦ προσρήματος[4] τούτου ὄντος, οὐ μέντοι καὶ ἐκεῖ, ἀλλ' ἔν τε τῇ Ῥοδόπῃ καὶ πρὸς αὐτῇ τῇ Μακεδονίᾳ τῇ νῦν μέχρι τῆς θαλάσσης[5]. Ὑφ' οὗπερ καὶ ἐγὼ ἐκείνους μὲν Παίονας, τούτους δὲ Παννονίους ὥσπερ που καὶ αὐτοὶ ἑαυτοὺς καὶ Ῥωμαῖοι σφᾶς καλοῦσι, προσαγορεύσω.

R. p 596. 37. Ἐπὶ οὖν τούτους ὁ Καῖσαρ τότε στρατεύσας, τὸ μὲν πρῶτον οὔτε τι ἐδῄου[6], οὔτε τι ἥρπαζε[7], καίπερ καὶ τὰς κώμας αὐτῶν τὰς ἐν τοῖς πεδίοις ἐκλιπόντων· ἤλπιζε γὰρ ἐθελοντὰς[8] αὐτοὺς ἐπάξεσθαι· ὡς δὲ καὶ[9] προχωροῦντα

1. Bekk.; Reim. (*Addenda*) : ἅ τε; vulg. et Sturz (cf. sa note) : ὥστε.
2. C : τι. — 3. C : ὀνομάσδαται.
4. Reiske : « Sententia flagitat ἔθνους, neque videtur hic latinismus subesse quo *nomen* pro *gente* ponitur. » Sturz ajoute : « Neque videtur hoc opus esse. Vide LXXVI, 12. » Reim. pense qu'il faudrait peut-être ajouter ici οἰκούντων; suivant Reiske, il y a un mot passé, soit οἰκεῦντος, soit ἱδρυθέντος, soit ταχθέντος, ou tout autre participe d'une signification

nais ces détails, non pour en avoir entendu parler ou seulement pour les avoir lus, mais pour les avoir appris par expérience, ayant été gouverneur de ce pays; car, à la suite de la préfecture d'Afrique, je fus chargé de la Dalmatie, dont mon père aussi avait été quelque temps le gouverneur, ainsi que de la Pannonie appelée Pannonie Supérieure; ce qui fait que c'est avec une exacte connaissance de tout ce qui concerne ces peuples que j'écris ces renseignements. Ils sont nommés Pannoniens, parce que leurs tuniques à manches sont, suivant une coupe et une dénomination particulière à leur pays, formées de pans de manteaux cousus ensemble. Enfin, quelle qu'en soit la raison, leur nom est tel ; quelques historiens grecs, ignorant la vérité, les ont appelés Pæoniens, appellation antique qui ne s'applique pas à ces peuples,mais à ceux du Rhodope et des environs de la Macédoine actuelle jusqu'à la mer. C'est pourquoi j'appellerai les uns Pæoniens, et les autres Pannoniens, conformément au nom qu'ils se donnent eux-mêmes, et que leur donnent aussi les Romains.

37. Dans son expédition contre ces peuples, César s'abstint d'abord de rien ravager et de rien piller, bien qu'ils eussent abandonné les villages situés en plaine, car il espérait les amener à se soumettre volontairement ;

analogue. Sturz ne partage pas cet avis. — 5. C, H om. : οὔτε τι ἐδήου.

6. Gron., d'après A, et les édit. subséq.; vulg. : οὐκέτι ἥρπαζε, que Xyl. corrigeait οὐδέ τι ἥρπαζε. — 7. C : ὑπάξεσθαι. — 8. Mieux, peut-être : ἐθέλοντας.

9. Reiske : « Aut delendum καὶ, aut excidit aliud participium respondens isti προχωροῦντα. Idem quoque statuo de præcedenti καὶ post καίπερ. » Je ne vois, pour ma part, aucune nécessité de rien corriger.

αὐτὸν πρὸς Σισκίαν[1] ἐλύπησαν, ὠργίσθη, καὶ τήν τε χώραν σφῶν ἔκαιε, καὶ πάνθ' ὅσα ἐδύνατο λείαν ἐποιεῖτο. Πλησιάσαντος δὲ αὐτοῦ[2] τῇ πόλει, οἱ ἐπιχώριοι παραυτίκα μὲν ὑπὸ τῶν δυνατῶν ἀναπεισθέντες, ὡμολόγησάν τε αὐτῷ, καὶ ὁμήρους ἔδοσαν· μετὰ δὲ τοῦτο τάς τε πύλας ἀπέκλεισαν, καὶ ἐς πολιορκίαν κατέστησαν. Εἶχον μὲν γὰρ καὶ τείχη ἰσχυρὰ, τὸ δ' ὅλον ποταμοῖς δύο ναυσιπόροις ἐθάρσουν. Ὁ γὰρ Κόλοψ[3] ὀνομαζόμενος παρ' αὐτὸν τὸν περίβολον παραῤῥέων, ἐς τὸν Σαοῦον ὀλίγον ἀπέχοντα αὐτοῦ ἐμβάλλει καὶ νῦν πᾶσαν τὴν πόλιν ἐγκεκύκλωται, Τιβερίου[4] τάφρῳ τινὶ μεγάλῃ ἐς τοῦτο αὐτὸν καταστήσαντος, δι' ἧς ἐς τὸ ἀρχαῖον αὖθις ῥεῖθρον ἐπανέρχεται. Τότε δὲ τῇ μὲν τοῦ Κόλοπος παρ' αὐτὰ τὰ τείχη παρεξιόντος, τῇ δὲ τοῦ Σαούου ὀλίγον ἄπωθεν παραῤῥέοντος, διάκενόν τι[5] κατελέλειπτο, ὃ καὶ σταυρώμασι καὶ ταφρεύμασιν ὠχύρωτο. Ὁ οὖν Καῖσαρ πλοῖα παρὰ τῶν ταύτῃ συμμάχων ποιηθέντα λαβὼν, καὶ διά τε τοῦ Ἴστρου ἐς τὸν Σαοῦον, καὶ δι' ἐκείνου ἐς τὸν Κόλοπα αὐτὰ ἀγαγὼν[6], προσέβαλε σφίσι τῷ πεζῷ ἅμα καὶ ταῖς ναυσί· καί τινας καὶ ναυμαχίας ἐν αὐτῇ ἐποιήσατο. Καὶ γὰρ οἱ βάρβαροι μονόξυλα πλοῖα ἀντικατασκευάσαντες, διεκινδύνευον, καὶ ἔν τε τῷ ποταμῷ ἄλλους τε πολλοὺς[7] καὶ τὸν Μηνᾶν τὸν τοῦ Σέξτου ἐξελεύ-

1. Correction de Xyl., confirmée par A, B, K, et adoptée par Reim., Sturz et Bekk.; vulg. : Συσκίαν; H : Τουσκίαν; C : τῆς τοῦ Σικίας; G : προσσεισκίαν.

2. G : Πλησιάσαντος δ' αὐτοῦ.

3. Leuncl., en marge : Κόλαψ, d'après Pline, III, 25 et Strabon, fin du

mais quand ils en vinrent à gêner sa marche contre Siscia, il s'irrita, brûla le pays et fit le plus de butin qu'il put. Quand il fut arrivé près de la ville, les habitants, à la persuasion des principaux d'entre eux, traitèrent avec lui et lui donnèrent des otages ; mais ensuite ils lui fermèrent leurs portes et furent mis en état de siége. Ils avaient de fortes murailles, et, en somme, ils mettaient leur confiance dans deux fleuves navigables. En effet, le Colops, qui baigne l'enceinte, se jette dans le Save qui est peu éloigné et entoure aujourd'hui la ville tout entière, Tibère l'y ayant conduit au moyen d'un grand fossé par lequel il retourne dans son ancien lit. Mais, à cette époque, le Colops, d'un côté, passant au pied même des remparts, et, d'un autre, le Save coulant à peu de distance, laissaient dans le milieu un espace vide qui avait été fortifié avec des palissades et des fossés. César, prenant des barques construites aux environs par ses alliés, et les faisant passer par l'Ister dans le Save, et par celui-ci dans le Colops, attaqua la ville à la fois avec ses troupes de terre et avec ses vaisseaux, et livra plusieurs batailles navales sous ses murs. Les Barbares, en effet, ayant à leur tour fabriqué des barques d'une seule pièce, soutinrent la lutte, tuèrent, entre autres, sur le fleuve, Ménas, l'affranchi de Sextus, et sur terre re-

livre IV et livre VII. — 4. Cela n'eut lieu que plus tard, en 759. Cf. LV, 30 et Velléius Paterc., II, 113.

5. B om. : ὀλίγον... διάκενόν τι.

6. Bekk.; vulg. et les mss. : ἀνάγων.

7. A, B : συχνούς; G : σύγνους (*sic*).

θερον ἀπέκτειναν, καὶ ἐν τῇ γῇ ἰσχυρῶς[1] αὐτὸν ἠμύνοντο· μέχρις οὗ τῶν συμμάχων τινὰς ἐνηδρεῦσθαί τε καὶ ἐφθάρθαι ἐπύθοντο· τότε γὰρ ἀθυμήσαντες ἐνέδοσαν. Καὶ οὕτως ἀλύντων ἐκείνων, καὶ τὸ ἄλλο Παννονικὸν ὁμολογίᾳ προσηγάγετο.

38. Καὶ[2] μετὰ ταῦτα ἐκεῖ μὲν Φούφιον[3] Γέμινον[4] σὺν δυνάμει τινὶ κατέλιπεν, αὐτὸς δὲ ἐς τὴν Ῥώμην ἀνεκομίσθη· καὶ τὰ μὲν ἐπινίκια ψηφισθέντα οἱ ἀνεβάλετο[5], τῇ δ' Ὀκταουίᾳ τῇ τε Λιουίᾳ καὶ εἰκόνας καὶ τὸ τὰ σφέτερα ἄνευ κυρίου τινὸς διοικεῖν[6], τό τε ἀδεὲς καὶ τὸ ἀνύβριστον
R.p.597. ἐκ τοῦ ὁμοίου τοῖς δημάρχοις ἔχειν ἔδωκεν. Ὡρμημένου δὲ αὐτοῦ καὶ ἐς τὴν Βρεττανίαν κατὰ τὸν τοῦ πατρὸς ζῆλον[7] στρατεῦσαι[8], καὶ ἤδη καὶ ἐς τὴν Γαλατίαν μετὰ τὸν χειμῶνα, ἐν ᾧ ὅ τε Ἀντώνιος τὸ δεύτερον καὶ Λούκιος Λίβων ὑπάτευον, προκεχωρηκότος, τῶν τε νεοαλώτων[9] τινὲς καὶ Δελμάται σὺν αὐτοῖς ἐπανέστησαν. Καὶ Παννονίους μὲν ὁ Γέμινος, καίτοι τῆς Σισκίας[10] ἐκπεσών, ὅμως μάχαις ἀνεκτήσατο· τούς τε Σαλάσσους[11] καὶ τοὺς ἄλλους τοὺς μετ' αὐτῶν νεωτερίσαντας[12] ὁ[13] Μεσσαλᾶς ὁ Οὐαλέριος ἐχειρώσατο· ἐπὶ δὲ δὴ τοὺς Δελμάτας πρότερος μὲν ὁ Ἀγρίππας, ἔπειτα δὲ καὶ ὁ Καῖσαρ ἐπεστράτευσε. Καὶ

1. Vulg. et E, C : ἐχυρῶς. — 2. G om. — 3. C : Φούβιον.

4. Les éditions de Florus, IV, 12, lui donnent le nom de Vibius, quelques-unes celui de Vinnius. Il est d'ailleurs difficile de concilier son récit avec ce qui est dit dans le monument d'Ancyre.

5. C : ἀνεβάλλετο. Sur les triomphes d'Auguste, cf. LI, 21.

6. D'après les lois romaines, les femmes étaient toujours considérées

poussèrent vigoureusement César, jusqu'au moment où ils apprirent que quelques-uns de leurs alliés étaient tombés dans des embuscades et avaient péri. Alors ils cédèrent par découragement. Leur soumission amena celle du reste de la Pannonie.

38. A la suite de ces événements, César laissa dans ces lieux Fufius Géminus avec un corps de troupes, et retourna lui-même à Rome : il différa le triomphe qui lui avait été décerné, et accorda à Octavie ainsi qu'à Livie l'honneur de statues, le droit d'administrer leurs biens sans tuteurs, et le privilége d'être inviolables à l'égal des tribuns du peuple. Comme il se préparait à une expédition contre la Bretagne, à l'exemple de son père, et comme il s'était même déjà avancé jusqu'en Gaule, après l'hiver où Antoine fut consul pour la seconde fois et L. Libon pour la première, quelques-uns des peuples nouvellement soumis, et les Dalmates avec eux, se soulevèrent. Géminus, bien qu'ayant été chassé de Siscia, recouvra la Pannonie à force de combattre, et Valérius Messala dompta les Salasses et les autres peuples qui s'étaient révoltés avec eux. Quant aux Dalmates, Agrippa d'abord, puis César, marchèrent contre eux. Après des souffrances si

An de Rome 720.

M. Antonius consul II et L. Libon consul I

comme mineures et avaient besoin d'un tuteur pour administrer leurs biens. — 7. Reim., Sturz et Bekk.; E et vulg. om. — 8. Sur la double expédition de Jules César en Bretagne, cf. XXXIX, 50 et suiv.

9. Sturz : « Rariore hoc vocabulo Herodotus, IX, 120, de piscibus recens captis usus est. » — 10. C : τῆς τοῦ Σκίας.

11. A, B, C, G, H : Ἰαλάσσους. — 12. Cf. ch. 34. — 13. Bekk.; vulg. om.

τοὺς μὲν πλείους σφῶν, αὐτοὶ πολλὰ καὶ δεινὰ παθόντες, ὥστε καὶ τὸν Καίσαρα τρωθῆναι[1], καὶ τῶν στρατιωτῶν τισι κριθὴν ἀντὶ τοῦ σίτου δοθῆναι, καὶ ἑτέρους τὴν τάξιν ἐκλιπόντας δεκατευθῆναι[2], κατεστρέψαντο· τοῖς δὲ δὴ λοιποῖς[3] ὁ Ταῦρος ὁ Στατίλιος[4] ἐπολέμησεν.

39. Ἀντώνιος δὲ ἐν τούτῳ τῆς μὲν ἀρχῆς αὐθημερὸν ἐξέστη, Λούκιον Σεμπρώνιον Ἀτρατῖνον ἀντικαταστήσας· ὅθεν εἰσὶν οἳ τοῦτον, ἀλλ' οὐκ ἐκεῖνον ἐν τῇ τῶν ὑπάτων ἀπαριθμήσει ὀνομάζουσι[5]· πράττων δ' ὅπως ὅτι ἀπονώτατα[6] τὸν Ἀρμένιον τιμωρήσηται, τήν τε θυγατέρα αὐτοῦ, ὡς καὶ τῷ Ἀλεξάνδρῳ τῷ υἱεῖ συνοικίσων[7], ᾔτησε, Κύϊντόν τινα Δέλλιον[8], παιδικά ποτε ἑαυτοῦ[9] γενόμενον, πέμψας, καὶ πολλά τινα αὐτῷ δώσειν ὑπέσχετο. Καὶ τέλος ἔς τε τὴν Νικόπολιν τὴν τοῦ Πομπηΐου αἰφνίδιον ἅμα τῷ ἦρι[10] ἦλθε, κἀνταῦθα[11] αὐτὸν, ὡς καὶ συμβουλεύσοντα καὶ συμπράξοντά[12] τινα κατὰ τῶν Πάρθων, μετεπέμ-

1. Cf. ch. 35 et Appien, 27. — 2. Antoine (ch. 27) avait fait la même chose dans une occasion analogue.

3. Reimarus : « Lego Λιβούρνοις, N. Scilicet respicit vir doctus ad ea quæ dixerat Dio [c. 34]. Sed et plures ibi populi Illyriæ præter Salassos ac Liburnos, ut solos Liburnos Salassis opponere Dio non videatur. Et Appianus, Illyr. [c. 27], similiter scribit : *Statilium Taurum ad residua* (ἐς τὰ λοιπὰ τοῦ πολέμου) *ejus belli* dereliquit. Τοῖς λοιποῖς; idem est quod *ad residua ejus belli*. »

4. H : Στρατήλιος.

5. Après ὀνομάζουσι, il y a, dans C, un renvoi et ces mots écrits à la marge : λείπει τι ὡς μοι δοκεῖ. Quant au fait dont il s'agit, Reimarus s'exprime ainsi : « Ex hoc loco Dionis perspicuum est, illius etiam ætate fastos et ὑπατάρια inter se non consensisse, sed omissos in aliis consules, qui in aliis ponerentur : ita ab aliis ordinariorum tantum, qui annum

nombreuses et si dures que César fut blessé, que quelques soldats reçurent de l'orge en place de blé, enfin que d'autres furent décimés pour avoir abandonné leur poste, les Romains vinrent à bout de subjuguer la plupart de ces Barbares, et Statilius Taurus fit la guerre au reste.

39. Sur ces entrefaites, Antoine abdiqua le consulat le jour même de sa prise de possession, après s'être substitué L. Sempronius Atratinus, ce qui fait que quelques historiens, dans l'énumération des consuls, citent Atratinus, et non Antoine. Or, pour arriver à se venger de l'Arménien avec le moins de peine possible, il lui fit demander sa fille, comme pour la marier à son fils Alexandre, par un certain Q. Dellius, qui avait été autrefois son mignon, et lui fit mainte promesse. Enfin, au commencement du printemps, il arriva tout à coup à la Nicopolis de Pompée, et là il envoya quérir le roi d'Arménie, sous prétexte d'employer ses conseils et son aide contre les Parthes. Celui-ci, soupçonnant

aperiebant, ut in fastis plerisque veterum, quos habemus, ab aliis etiam suffectorum ratio habebatur, ut in tabula Colotiana fieri videmus. »

6. Reiske et Bekk.; vulg. et les mss. : ὅπως ὡς ὅτι ἀπονώτατα. Reim. (*Addenda*) blâme la correction de Reiske; il voit dans la double particule devant le superlatif une élégance attique. Il m'a semblé que cet ὡς n'était autre chose que la finale de ὅπως répétée par une erreur du copiste.

7. B : συνοικήσων.

8. C'est ce Dellius qui persuada à Cléopâtre d'aller trouver Antoine (Plutarque, 25), et qui, plus tard, passa dans le parti de César (Dion, L, 23). Il avait écrit la guerre d'Antoine contre les Parthes.

9. Penzel : αὐτοῦ, rapportant ce mot au roi d'Arménie, au lieu de ἑαυτοῦ, qui se rapporte à Antoine.

10. A, G, K : ἦρει; B : ἤρει.

11. G : ταῦθα. — 12. C : συμπράξαντα.

ψατο[1]. Ἐπειδή τε οὐκ ἀφίκετο, τὴν ἐπιβουλὴν ὑποπτεύσας, τόν τε Δέλλιον αὖθις ἐς λόγους οἱ προσέπεμψε, καὶ αὐτὸς οὐδὲν ἧττον σπουδῇ πρὸς τὰ Ἀρτάξατα ἤλασε. Καὶ οὕτως αὐτὸν ὀψέ ποτε, τὰ μὲν πείθων διὰ τῶν ἑταίρων, τὰ δὲ καὶ διὰ τῶν στρατιωτῶν καταπλήσσων, πάντα τε ἁπλῶς ὡς πρὸς φίλον καὶ γράφων καὶ πράττων, ἐπη-
B. p. 338. γάγετο ἐς τὸ στρατόπεδον ἐσελθεῖν. Κἀνταῦθα συλλαβών, τὰ μὲν πρῶτα ἄδετόν τε εἶχε, καὶ κατὰ τὰ φρούρια, ἐν οἷς οἱ θησαυροὶ ἦσαν, περιῆγεν, εἴ πως ἀμαχὶ σφᾶς λάβοι, σκηπτόμενος δι' οὐδὲν ἄλλο αὐτὸν συνειληφέναι, ἢ ἵνα τοὺς Ἀρμενίους[2] καὶ ἐπὶ τῇ σωτηρίᾳ καὶ ἐπὶ τῇ βασιλείᾳ αὐτοῦ δασμολογήσῃ. Ὡς δ' οὔτε οἱ χρυσοφύλακες προσεῖχον αὐτῷ, καὶ οἱ τὰ ὅπλα ἔχοντες Ἀρτάξην[3] τὸν πρεσβύτατον τῶν παίδων αὐτοῦ βασιλέα ἀνθείλοντο, ἔδησεν[4] αὐτὸν ἀργυραῖς ἁλύσεσιν[5]· αἰσχρὸν γὰρ, ὡς ἔοικεν, ἦν, βασιλέα αὐτὸν γεγονότα σιδηραῖς δεθῆναι[6].

40. Κἀκ τούτου τοὺς μὲν ἐθελοντὶ[7], τοὺς δὲ καὶ βίᾳ λαβών, πᾶσαν τὴν Ἀρμενίαν κατέσχεν· ὁ γὰρ Ἀρτάξης ἐπειδὴ συμβαλών οἱ[8] ἡλαττοῦτο[9], πρὸς τὸν Πάρθον ἀπεχώρησε. Πράξας δὲ ταῦτα, καὶ[10] τῷ υἱεῖ τὴν τοῦ Μήδου

1. G om. : συμπράξοντα... μετεπέμψατο. — 2. B om. : ἢ ἵνα τοὺς Ἀρμενίους... Jusqu'à (ch. 42) φιλοτιμούμενοι καί. De même dans A, où la feuille a été coupée. Je donne en remplacement les variantes fournies par I.

3. C, H : Ἀνταξην. Josèphe, XV, 5, et Tacite, Ann. II, 3, le nomment Artaxias. — 4. G : ἔδυσεν.

5. On pourrait citer plus d'un exemple de ces honneurs dérisoires rendus à des princes malheureux. Au chapitre suivant, Dion dit que ce roi fut mené en triomphe par Antoine, chargé de chaines d'or, et ce fait est

le piége et n'étant pas venu, il envoya de nouveau Dellius lui parler, et ne mit pas moins d'empressement à pousser lui-même jusqu'à Artaxate. De cette manière, moitié persuasion de ses amis, moitié crainte de ses soldats, en lui écrivant et en agissant en tout avec lui comme avec un ami, il le décida enfin à se rendre dans son camp. Là, s'étant saisi de sa personne, il le fit garder, sans chaînes d'abord, et le conduisit devant les places où étaient ses trésors, afin, s'il était possible, de s'en emparer sans combat, prétextant ne s'être saisi du roi qu'afin de lever un tribut sur les Arméniens pour le rachat de sa vie et de son trône. Mais ceux qui gardaient l'or ne lui ayant pas obéi, et ceux qui avaient les armes à la main ayant élu roi à sa place Artaxe, l'aîné de ses fils, il chargea Artavasde de chaînes d'argent, car, apparemment, c'était une honte de charger de chaînes de fer un homme qui avait été roi.

40. A la suite de cela, s'assurant les uns de gré, les autres de force, il se rendit maître de l'Arménie tout entière; car Artaxe, vaincu dans un engagement, se retira chez les Parthes. Après avoir accompli ces choses

confirmé par Velléius Paterc., II, 82 : « Regem Artavasden fraude deceptum catenis, sed ne quid honori deesset, aureis vinxit. » Quant au piége tendu au roi d'Arménie, cf. Tacite, *Ann.*, II, 3; l'Épitomé de Tite-Live, CXXXI; Plutarque, *Ant.*, 50. — 6. G : δεθῆναι. — 7. Leuncl., en marge, propose de remplacer la vulgate ἐθελοντῇ par ἐθελοντεὶ ou ἐθελοντί. Avec Sturz et Bekk., j'adopte le dernier. — 8. H. I et Bekk.; vulg. om.

9. Artaxes avait été vaincu (cf. ch. 44) par le roi des Mèdes Atropatiens, qui se faisait appeler, lui aussi, Artavasdes. — 10. G om.

θυγατέρα, ὅπως ἔτι καὶ μᾶλλον αὐτὸν προσεταιρίσηται, μνηστεύσας[1], τά τε στρατόπεδα ἐν τῇ Ἀρμενίᾳ κατέλιπε, καὶ ἐς τὴν Αἴγυπτον ἀνεκομίσθη, τήν τε ἄλλην λείαν πολλὴν καὶ τὸν Ἀρμένιον μετά τε τῆς γυναικὸς καὶ μετὰ τῶν[2] παίδων ἄγων. Καὶ σφᾶς σὺν τοῖς ἄλλοις αἰχμαλώτοις καὶ[3] ἐν ἐπινικίοις τισὶν ἐς τὴν[4] Ἀλεξάνδρειαν προπέμψας, αὐτὸς ἐφ' ἅρματος ἐσήλασε, καὶ τά τε ἄλλα πάντα τῇ Κλεοπάτρᾳ ἐχαρίσατο, καὶ τὸν Ἀρμένιον μετὰ τῶν οἰκείων ἐν χρυσοῖς δεσμοῖς προσήγαγε[5]. Προεκάθητο δὲ ἐν μέσῳ τῷ πλήθει ἐπί τε βήματος ἐπαργύρου καὶ ἐπὶ δίφρου ἐπιχρύσου. Οἵ γε μὴν[6] βάρβαροι οὔθ' ἱκέτευσαν αὐτήν, οὔτε προσεκύνησαν, καίτοι πολλὰ μὲν καὶ[7] ἀναγκαζόμενοι, πολλὰ δὲ καὶ ἐλπίσιν ἀναπειθόμενοι· ἀλλ' ὀνομαστὶ ἑ[8] προσαγορεύσαντες, δόξαν μὲν φρονήματος ἔλαβον, κακουχίᾳ δὲ πολλῇ διὰ τοῦτο συνέσχοντο[9].

41. Μετὰ δὲ τοῦτο ὁ Ἀντώνιος τούς τε[10] Ἀλεξανδρέας εἰστίασε, καὶ τὴν Κλεοπάτραν τούς τε παῖδας αὐτῆς ἐν ἐκκλησίᾳ παρεκαθίσατο· δημηγορήσας τέ τινα, ἐκείνην τε βασιλίδα βασιλέων[11], καὶ τὸν Πτολεμαῖον[12], ὃν Καισαρίωνα

1. Jotape, fille du roi d'Arménie, est, au ch. 44, fiancée à Alexandre, fils d'Antoine, et la partie de l'Arménie récemment conquise est donnée à son frère. — 2. Bekk., en note; vulg. om. — 3. Reiske, sans motifs, veut supprimer ce καί. — 4. Reiske, Sturz et Bekk.; vulg. : ἐς τε τήν.

5. Ce triomphe fut, suivant Plutarque, ce qui irrita le plus les Romains contre Antoine; c'était en quelque sorte profaner un honneur réservé pour Rome seule. — 6. C, I et Bekk.; vulg. et les autres mss. : Οἱ δὲ δή.

7. G : πολλὰ μὲν δὲ καί. — 8. Bekk. avec C, E, I; vulg. om.; G : ὀνομαστεὶ προσαγορεύσαντες. — 9. Sturz : συνείχοντο. — 10. G : vulg. om.

et fiancé son fils à la fille du Mède, afin de se l'attacher davantage, Antoine retourna en Égypte, emmenant, outre un butin considérable, l'Arménien avec sa femme et ses enfants. Il les fit marcher devant lui avec les autres captifs, dans une sorte de triomphe à Alexandrie, où il entra lui-même sur un char; et, outre toutes les autres faveurs accordées à Cléopâtre, il lui amena l'Arménien, avec les siens, chargé de chaînes d'or. Elle était assise, au milieu du peuple, sur une tribune ornée d'argent et sur un trône d'or. Les Barbares ne lui adressèrent aucune prière et ne se prosternèrent pas devant elle, malgré la contrainte qu'on employa et les espérances qu'on leur faisait concevoir; ils s'acquirent même, pour l'avoir appelée par son nom, une réputation de grandeur d'âme; mais ils furent, pour ce même motif, durement traités.

41. A la suite de ce triomphe, Antoine donna un banquet aux Alexandrins, et, au milieu du peuple assemblé, il fit asseoir près de lui Cléopâtre et ses enfants; puis, après avoir prononcé quelques paroles, il ordonna d'appeler Cléopâtre reine des rois, et Ptolémée, sur-

11. Robert Étienne veut lire ici βασιλίδα βασιλίδων, *reginam reginarum;* mais Xylander, suivi par les édit. subséq., combat cette correction : « Videtur enim voluisse ostendere Antonius, Cleopatram, ut Cæsaris superioris, ac suam exinde conjugem, in omnes reges orbis terrarum jus habere, omnesque eos majestate superare, non ut eam reginis modo præferret omnibus. » Xylander invoque ensuite l'autorité d'une médaille qu'il a vue à Augsbourg, chez A. Occo, sur l'un des côtés de laquelle on lit : CLEOPATRÆ REGINÆ REGUM, REGUM FILIORUM....

12. Fils posthume de Jules César et de Cléopâtre. Cf. L, 1.

ἐπωνόμαζον, βασιλέα βασιλέων καλεῖσθαι ἐκέλευσε. Καὶ αὐτοῖς καὶ τὴν Αἴγυπτον, τήν τε Κύπρον, ἄλλην[1] διανομήν τινα ποιησάμενος, ἔδωκε· τοῦ τε γὰρ προτέρου Καίσαρος
B p.599. τὴν μὲν γυναῖκα, τὸν δὲ υἱὸν ὄντως γεγονέναι ἔλεγε, καὶ ἐς τὴν ἐκείνου δὴ χάριν ταῦτα ποιεῖν ἐσκήπτετο, ὅπως[2] τὸν Καίσαρα τὸν Ὀκταουϊανὸν ἐκ τούτου, ὅτι ποιητὸς, ἀλλ' οὐ γνήσιος αὐτοῦ παῖς ἦν, διαβάλλῃ[3]. Ἐκείνοις μὲν δὴ ταῦτα ἔνειμε[4]· τοῖς δὲ δὴ αὐτοῦ παισὶ τοῖς ἐκ τῆς Κλεοπάτρας οἱ γεγονόσι, Πτολεμαίῳ[5] μὲν τήν τε Συρίαν καὶ τὰ ἐντὸς τοῦ Εὐφράτου μέχρι τοῦ Ἑλλησπόντου πάντα, Κλεοπάτρᾳ δὲ τὴν Λιβύην τὴν περὶ Κυρήνην, τῷ τε ἀδελφῷ αὐτῶν Ἀλεξάνδρῳ τήν τε Ἀρμενίαν, καὶ τἄλλα τὰ πέραν τοῦ Εὐφράτου μέχρις Ἰνδῶν[6], δώσειν ὑπέσχετο· καὶ γὰρ ἐκεῖνα, ὡς ἔχων ἤδη, ἐχαρίζετο[7]. Καὶ ταῦτα οὐκ ἐν τῇ Ἀλεξανδρείᾳ μόνον εἶπεν, ἀλλὰ καὶ ἐς τὴν Ῥώμην, ἵνα καὶ παρ' ἐκείνων τὸ κῦρος λάβῃ, ἐπέστειλεν. Οὐ μέντοι καὶ ἐν τῷ κοινῷ τι αὐτῶν ἀνεγνώσθη[8]· ὅ τε γὰρ Δομίτιος καὶ ὁ Σόσσιος ὑπατεύοντες ἤδη τότε, καὶ ἐς τὰ μάλιστα αὐτῷ προσκείμενοι, οὐκ ἠθέλησαν, καίπερ τοῦ Καίσαρος ἐγκειμένου σφίσιν, ἐς πάντας[9] αὐτὰ ἐκφῆναι. Νικησάντων δὲ ἐν τούτῳ ἐκείνων, ἀντεπεκράτησεν ὁ Καῖσαρ, μηδὲν

1. Reiske veut supprimer ἄλλην; Sturz le combat : « Ἄλλην, dit-il, respicit ad superiorem divisionem de qua vide c. 32. »

2. Reiske : ἐσκήπτετο. Τὸ δ' ἀληθὲς ὅπως.

3. C, G, I, K : διαβάλλοι. — 4. G, K : ταῦτ' ἔνειμε. — 5. Ptolémée Philadelphe. Cf. ch. 35.

6. G, I, Sturz et Bekk.; vulg. et les autres mss. : μέχρι Ἰνδῶν.

7. Plutarque, 54, rapporte qu'Antoine, non content d'appeler Cléo-

nommé Césarion, roi des rois. Il leur donna, par un nouveau partage, l'Égypte et Cypre : il répétait que Cléopâtre avait été la femme du premier César et que Ptolémée était véritablement son fils, et feignait d'agir ainsi par amitié pour l'ancien dictateur, afin de rendre odieux César Octavien, qui n'était son fils que par adoption et non par la nature. Telle fut la part qu'il leur assigna ; quant aux enfants qu'il avait eus lui-même de Cléopâtre, il promit de donner, à Ptolémée, la Syrie et tout le pays en deçà de l'Euphrate jusqu'à l'Hellespont ; à Cléopâtre, la Libye qui avoisine Cyrène ; et à leur frère Alexandre l'Arménie et les régions au-delà de l'Euphrate jusqu'aux Indes ; car il disposait de ces contrées comme s'il les avait déjà en son pouvoir. Ce ne fut pas seulement à Alexandrie qu'il tint ce langage ; il écrivit à Rome pour y mentionner ces dispositions. Cependant aucune de ses lettres ne fut lue en public ; les consuls Domitius et Sossius, qui alors étaient déjà en charge, et qui lui étaient fort attachés, ne le voulurent pas, de quelques instances que César usât auprès d'eux. Les consuls l'ayant emporté sur ce point, César, à son tour, obtint qu'on ne publierait rien de ce qu'il

pâtre reine d'Égypte, de Cypre, d'Afrique et de Cœlésyrie, et de lui donner Césarion pour collègue, attribua à son fils Alexandre l'Arménie avec la Médie et le royaume des Parthes lorsqu'il serait soumis. Ptolémée, dans ce partage, avait la Phénicie, la Syrie et la Cilicie.

8. Plutarque cependant, ch. 55, prétend que César, pour exciter la haine contre Antoine, communiqua au sénat et au peuple les messages de son rival. — 9. C : σφίσι, ἐς πάντας.

τῶν περὶ τοῦ Ἀρμενίου γραφέντων δημοσιευθῆναι· τοῦτον τε[1] γὰρ ἠλέει, ἅτε καὶ λάθρα πρὸς αὐτὸν ἐπὶ τῷ Ἀντωνίῳ κεκοινολογημένος, καὶ ἐκείνῳ τῶν νικητηρίων ἐφθόνει. Τοιαῦτα δ' οὖν ὁ Ἀντώνιος πράττων, ἐτόλμα τῇ βουλῇ γράφειν, ὅτι τῆς τε ἀρχῆς παύσασθαι, καὶ ἐπ' ἐκείνῃ τῷ τε δήμῳ πάντα τὰ πράγματα ποιήσασθαι θέλει[2]· οὐχ ὅτι τι καὶ πράξειν αὐτῶν ἔμελλεν, ἀλλ' ὅπως ταῖς παρ' αὐτοῦ ἐλπίσι τὸν Καίσαρα ἤτοι ἀναγκάσωσιν, ἅτε καὶ παρόντα, τῶν ὅπλων προαποστῆναι[3], ἢ καὶ ἀπειθήσαντα μισήσωσι.

42. Τότε μὲν δὴ ταῦτά τε[4] ἐγένετο, καὶ τὴν πανήγυριν τὴν τῇ Ἀφροδίτῃ τῇ Γενετυλίῳ τελουμένην οἱ ὕπατοι ἐποίησαν[5]· ἔν τε ταῖς[6] ἀνοχαῖς, αἱρετοὶ ὑπὸ τοῦ Καίσαρος πολίαρχοι, παῖδες ἄνηβοι[7], ἐξ ἱππέων, ἀλλ' οὐκ ἐκ βουλευτῶν γεγονότες, ἦρξαν[8]. Καὶ τὴν στοὰν τὴν Παύλου καλουμένην Αἰμίλιος Λέπιδος Παῦλος ἰδίοις τέλεσιν ἐξωκοδόμησε[9], κἀν τῇ ὑπατείᾳ[10] καθιέρωσεν· ὑπάτευσε γὰρ ἐν μέρει τοῦ ἔτους τούτου[11]. Ὅ τε Ἀγρίππας τὸ ὕδωρ τὸ Μάρκιον ὠνομασμένον, ἐκλιπὸν[12] φθορᾷ τῶν
B.p.600. ὀχετῶν, καὶ ἀνεκτήσατο δαπάνῃ οἰκείᾳ, καὶ ἐπὶ πολλὰ

1. Bekk.; vulg. om. — 2. G om. — 3. C : ἀποστῆναι. — 4. H om.

5. En mémoire et en honneur de Jules César, qui révérait d'une manière toute particulière (XLIII, 22) Vénus comme auteur de sa race.

6. G om.

7. G : ἄνηκοι.

8. Comme plus haut, ch. 16, on a vu des préteurs et des tribuns du peuple nommés préfets de la ville pendant ces mêmes féries. Il semble,

avait écrit touchant l'Arménien; car il avait compassion de ce roi avec qui il traitait secrètement contre Antoine, et il était jaloux du triomphe de ce dernier. Antoine, cependant, malgré une telle conduite, osa écrire au sénat qu'il voulait renoncer à son commandement et lui remettre toutes les affaires, à lui et au peuple. Son intention n'était pas d'en rien faire; mais, en leur donnant ces espérances, il voulait seulement forcer César, attendu qu'il était sur les lieux, à quitter les armes le premier, ou, s'il s'y refusait, le perdre dans l'opinion des Romains.

42. Voilà ce qui se passait alors, et, de plus, les jeux consacrés à Vénus Génitrix furent célébrés par les consuls. Durant les Féries Latines, des enfants impubères choisis par César parmi les chevaliers, et non parmi les sénateurs, furent investis de la charge de préfets urbains. Paulus Émilius Lépidus bâtit à ses propres frais le portique appelé portique de Paulus, et le dédia pendant son consulat, car il fut consul pendant une partie de cette année. Agrippa fit, de ses deniers, les dépenses nécessaires pour le rétablissement de l'aqueduc de l'eau Marcia, qui avait cessé de couler à cause de la dégradation des conduits, et il l'amena dans plusieurs quartiers

d'après ce passage, qu'on nommait habituellement des fils de sénateurs pour remplir cette charge.

